**22** B 15; P 13, MP1 10, Nev. 165; tetr. II 10; F politicis concepta et mutila in Furiae ed. Lips. II p. 67; v. 4. 8 sq. Suid.; cf. Diod. XXXIII 7 p. 72 Dd., Doxop. Rhet. II p. 189 W., sim. Plut. Sert. 16 ‖ [2] Nck *Mél.* IV p. 138, Eb Burs. *Jahresb.* III 503 | *ἦν* A, corr. Sd ‖ 3 *μελαίναις* Bgk; *λευκὰς γὰρ εἶχεν καὶ μελαίνας* etiam F ‖ 4 *εἶτ'*, super *ε* del.', A, corr. Cr coll. *ἤδη* v. 1, *ὃς εἰς* S s. *κῶμος* (loco adhuc neglecto) | *κώμασ* A, *κώμους* S ‖ 5 *ἦρα* A | *νέασ* A | *γραίασ* A ‖ 6 *νεᾶνισ* A ‖ 7 *γραῖα* A ‖ 8 *ἀκμαία* A ‖ 8. 9 Suid. s. *ἑκάστοτε* ‖ 9 *εὕρισκε* S | cf. Arist. equ. 908 ‖ 11 *νέα* et *γραῖα* A ‖ 12 *ἔθηκαν* A, corr. Lm Nck | *ἑκάστην* Lm; *ἑκατέρη* Nck, sed cf. 18, 4; *ἄρδην* (cf. Phaedr. II 2, 9) vel *ἄμφω* et *ἀποσπῶσαι* Eb; *ἔθηκαν ἄνδρα* Rth, *ἔ. ἑξῆς* Bgk | Post 12 lacuna? cf. B* *φαλακρὸν ἐποίησαν καὶ ὄνειδος ἁπάντων*, sim. tetr.

*[ἀεὶ γὰρ ἕν γε τιλλόμενος ἐγυμνοῦτο.*
*φάσκει δ' ὁ μῦθος τοῦτο πᾶσιν ἀνθρώποις·*
*ἐλεεινὸς ὅστις εἰς γυναῖκας ἐμπίπτει.*
*ἀεὶ γὰρ ἕν γε δακνόμενος γυμνοῦται.]*

**23** *Βοηλάτης ἄνθρωπος εἰς μακρὴν ὕλην*
*ταῦρον κεράστην ἀπολέσας ἀνεζήτει.*
f. 10b *ἔθηκε δ' εὐχὴν ταῖς ὀρεινόμοις νύμφαις,*
*Ἑρμῇ νομαίῳ, Πανί, τοῖς πέριξ, ἄρνα*
*λοιβὴν παρασχεῖν, εἰ λάβοιτο τὸν κλέπτην.*
*ὄχθον δ' ὑπερβὰς τὸν καλὸν βλέπει ταῦρον*
*λέοντι θοίνην· δυστυχὴς δ' ἐπαρᾶται*
*καὶ βοῦν προσάξειν, εἰ φύγοι γε τὸν κλέπτην.*
*[ἐντεῦθεν ἡμᾶς τοῦτ' ἔοικε γινώσκειν,*
*ἄβουλον εὐχὴν τοῖς θεοῖσι μὴ πέμπειν,*
*ἐκ τῆς πρὸς ὥραν ἐκφορουμένης λύπης.]*

---

**23**, 2 me = 2, 2

---

**22**, [13—16] Db Lm ‖ 13 om. B*, numeri interpolatorem produnt, cf. 16 ‖ 14 *ὁ* (eras.) ~~*μῦθος*~~ *φάσκει* A, corr. suprascr. *δ' ὁ μῦθος* m. recc. ‖ Epim. AP1 = promyth. B v. 15 *ὅτι ἐ. ἐστιν, ὃς εἰς γ. ἐ.*, seq. *ἡ γὰρ γυνὴ θαλάσσῃ ⟨πᾶν⟩ ὁμοιοῦται* (ita MP1 Nev., *ὡμοίωται* B, sed latet choliambus) *κτλ.* ‖ v. 16 = 13
**23** B 16, MP1 11, P 14 ‖ 1 *μακρὰν* A ‖ 3. 4 *εὔξατο* (*ηὔξ.* P1) *δὲ τῷ θεῷ . . . ταῦρον* (inepte) *ἐπιθύσειν* B ‖ 4 *νομέωι*, *ε* del. *αι* suprascr. m. pr. A | *Πανί τ' οἶν ἐπιρρέξειν* 5 . . . *παρασχὼν* Cr ann. p. 241; [4], 5 *ἄρν' ἂν π.* Rth perperam; cf. Anth. Pal. IX 823 (XI 207, 2) ‖ 5 *θοίνην* Bgk, *ποινὴν* Hl, *λευκὴν* Nck; Suid. v. *λοιβή· σπονδή, θυσία* vix huc referendum, nam fons eius (cf. Hesych.) praebebat *θυσία οἴνου*: sed catachresis a Babrio vix aliena, cf. *libare libamen* | *λάβοι γε* Dbn add., *γε* e v. 8 petitum locum non habet ‖ 7 *ἐπαρᾶται* = *εὔχεται* ‖ 8 *βοῦσ* A, corr. Lm, *ἕτερον βοῦν σοι ἐπιθύσω* B MP1, *βοῦν σοι καὶ ταῦρον .. προσενέγκω* P | *ἐκφυγών γε* Bgk ‖ [9—11] Db Lm, = epim. P1 P, prom. B ‖ 11 *ἐκφοβουμένους* Lm, sed cf. B: *διὰ τὴν πρὸς ὥραν συμβαίνουσαν λύπην*: *ἐκφορούμενος* = *prorumpens* ‖ *ἀρχὴ τοῦ γ̄* m. 3

[*κάλαμος μὲν οὕτως· ὁ δέ γε μῦθος ἐμφαίνει*
*μὴ δεῖν μάχεσθαι τοῖς κρατοῦσιν, ἀλλ' εἴκειν.*]

37 *Δαμάλης ἐν ἀγροῖς ἄφετος, ἀτριβὴς ζεύγλης,*
*κάμνοντι καὶ σύροντι τὴν ὕνιν ταύρῳ*
*„τάλας" ἐφώνει „μόχθον οἷον ὀτλεύεις."*
*ὁ βοῦς δ' ἐσίγα χὐπέτεμνε τὴν χώρην.*
*ἐπεὶ δ' ἔμελλον ἀγρόται θεοῖς θύειν,*
*ὁ βοῦς μὲν ὁ γέρων εἰς νομὰς ἀπεζεύχθη,*
*ὁ δὲ μόσχος ἀδμὴς κεῖνος εἵλκετο σχοίνῳ*
*δεθεὶς κέρατα, βωμὸν αἵματος πλήσων.*
*κἀκεῖνος αὐτῷ τοιάδ' εἶπε φωνήσας·*
*„εἰς ταῦτα μέντοι μὴ πονῶν ἐτηρήθης.*
f. 15a *ὁ νέος παρέρπεις τὸν γέροντα, καὶ θύῃ,*
*καί σου τένοντα πέλεκυς, οὐ ζυγὸς τρίψει."*
[*ἔργοις ἔπαινος, ἀργίᾳ δὲ κίνδυνος.*
*Διδάσκει ἡμᾶς ὁ μῦθος ὅτι ἡ καλὴ ἐπιστήμη ἐκ θανάτου ῥύεται.*]

38 *Δρυτόμοι τινὲς σχίσαντες ἀγρίην πεύκην*
*ἐνεῖραν αὐτῇ σφῆνας, ὡς διασταίη*

---

37, 5e cf. 34, 1 | 7e = 6, 15 | 8e cf. 31, 2. 132, 6 | 9me = 124, 13 ‖ 38, 1me = 95, 5

---

**36,** [13 sq.] Db, cf. 18, 14 ‖ Post 14 duo vv. vacui A

**37** B 24 MP[1] 15, P 19 Cor. p. 107, Steph. p. 54 (Hds.-Hptm. p. 307), Av. 36; 3 Suid. ‖ 1 *δάμαλις* AB caett., corr. Mk ‖ 3 Suid. s. *ὄτλος* ‖ 4 *καὶ ὑπέτεμνε* A, quae haud scio an Babrii sit manus | *χώραν* A ‖ 6 *εἰς νομὴν* B ‖ 7 *ἀδμήσκειν ὃς* A, corr. Bss ‖ 10 *πονεῖν* A, *κάμνων ἐτ.* B P[1] Steph., corr. Bss; *καμὼν*? Eb ‖ 11 om. paraphr. ‖ 13 temere om. edd. praeter Rth | *ἀργία* A, corr. m. rec. | *κινδύνοις* A m. pr., corr. m. rec. ‖ Epim. *μυ* (θ supra) A

**38** B 28 MP[1] 17, P 22; 2 Suid. Zon. p. 741, lex. Vind. p. 87 N., cf. F Fur. 174 ‖ 1 *σχίζοντες* Bgk, *σχίσοντες* HlEb | *ἀγρίαν* A ‖ 2 *ἐναφῆκαν τῇ δρυῒ σφ.* Suid. cet. lex. s. v., *ἐνέφρηκαν*? Rth | *αὐτῆσφήνας* A m. pr., *ι* subscr. m. rec.

*„ἄψ νῦν ἴωμεν. οὐκέτι χρεὼν θνήσκειν·*
*ὁρῶ γὰρ ἄλλους ἀσθενεστέρους ἥμων.“*

26 *Γέρανοι γεωργοῦ κατενέμοντο τὴν χώρην*
*ἐσπαρμένην νεωστὶ πυρίνῳ σίτῳ.*
*ὃ δ' ἄχρι πολλοῦ σφενδόνην κενὴν σείων*
*ἐδίωκεν αὐτὰς τῷ φόβῳ καταπλήσσων.*
*αἳ δ' ὡς ἐπέσχον σφενδονῶντα τὰς αὔρας,*
*κατεφρόνησαν λοιπὸν ὥστε μὴ φεύγειν,*
*ἕως ἐκεῖνος οὐκέθ' ὡς πρὶν εἰώθει,*
*λίθους δὲ βάλλων, ἠλόησε τὰς πλείους.*
*αἳ δ' ἐκλιποῦσαι τὴν ἄρουραν ἀλλήλαις*
*„φεύγωμεν“ ἐκραύγαζον „εἰς τὰ Πυγμαίων.*
f. 11b *ἄνθρωπος οὗτος οὐκέτ' ἐκφοβεῖν ἡμᾶς*
*ἔοικεν, ἤδη δ' ἄρχεταί τι καὶ πράσσειν.“*

[*Παραίνεσιν ὁ λόγος ἔχει, δεῖν ταῖς ἐκ λόγων παραινέσεσι τοὺς πταίοντας εἴκειν, ἵνα μὴ ταῖς ἐξ ἔργων ὀψέ ποτε πειραθεῖεν ὀδύναις.*]

27 *Γαλῆν δόλῳ τις συλλαβών τε καὶ δήσας*
*ἔπνιγεν ὑδάτων* ⟨*ἐν*⟩ *συναγκίῃ κοίλῃ.*

---

26, 1 me = 33, 15 | 7 me cf. ad 16, 9 ‖ 27, 1 m = 89, 10, cf. 132, 7

---

25, 10 *ἡμῶν* A ‖ post 10 duorum fere versuum spatium vacuum A

26, 1. 2 Suid., epim. Georg. ‖ 1. 2 Suid. s. *πυρίνῳ σίτῳ* ‖ 1 *τὴν* om. S | *χώραν* A, *-ην* S ‖ 4 *ψόφῳ* Bgk ‖ 7 *εἰώθει*, *θει* m. rec. atramento obd., cf. 16, 9. 106, 20 ‖ 8 *βαλὼν* A, corr. Bss | *ἠλώησε* A m. pr., corr. m. rec. ‖ 10 cf. Il. *Γ* 5 | *τὰ* ex *τὰς* m. pr. A ‖ 11 *ἄνθρωπος* A, corr. Lm ‖ 12 *πρήσσειν*? Eb ‖ Epim. Georg. Bss an. I p. 31, 5 | *τοὺς* om. A | *εἴκειν* Georg., *ἥκειν* A

27 V 30 (Fur. 355) ‖ 1 *δήσας* Vat. ex Furiae testimonio p. 144, *πνίγων* A, num *σφίγγων*? ‖ 2 *ἔπνιγεν* A, *-ε* V | *ὕδατων συναγγίαι* (ad *ἄγγος*?) *κ.* A; *βαλὼν ὑδάτων συνεχεῖα* V, unde *βάλλων* vel *βάπτων* repetiverunt; *ὕ. ἐμβαλὼν συναγκείῃ* Bgk

*τῆς δ' αὖ λεγούσης „ὡς κακὴν χάριν τίνεις*
*ὧν ὠφέλουν θηρῶσα μῦς τε καὶ σαύρας,"*
*,ἐπιμαρτυρῶ σοι' φησίν· ,ἀλλὰ καὶ πάσας* 5
*ἔπνιγες ὄρνεις, πάντα δ' οἶκον ἠρήμους* 6
*κρεῶν ⟨τ'⟩ ἀνεφγὸς ἄγγος· ὥστε τεθνήξῃ* 6a
*βλάπτουσα μᾶλλον ἤπερ ὠφελοῦσ' ἡμας.'*

[*Πρὸς τοὺς μετρίως μὲν ὠφελοῦντας, βλάπτοντας δὲ* [*τὰ*] *μεγάλα, εὔκαιρος ἐστὶν ὁ λόγος.*]

28 *Γέννημα φρύνου συνεπάτησε βοῦς πίνων.*
*ἐλθοῦσα δ' αὐτόν — οὐ παρῆν γάρ — ἡ μήτηρ*
*παρὰ τῶν ἀδελφῶν ποῦ ποτ' ἦν ἐπεζήτει.*
*„τέθνηκε, μῆτερ· ἄρτι γάρ, πρὸ τῆς ὥρης,*
*ἦλθεν πάχιστον τετράπουν, ὑφ' οὗ κεῖται*
*χηλῇ μαλαχθέν." ἡ δὲ φρῦνος ἠρώτα,*
*φυσῶσ' ἑαυτήν, εἰ τοσοῦτον ἦν ὄγκῳ*
*τὸ ζῷον. οἱ δὲ μητρί „παῦε, μὴ πρίου.*

---

28, 1m = 117, 8; 1e = 80, 1. 83, 1 | 4e = 12, 4

---

27, 3 *δ' αὖ* A, *δὲ* V | *τίνεις* A, *τίνα* V ‖ 4 *ὧν σ'* Fx Hm, *ὃν* Bgk ‖ 6 *ὄρνις* V, *ὄρνεις* del. *ει* suprascr. *ι* A | *οἶκον caveam* ‖ ʲᵃ e V, om. A, del. Rth | *ἀνεωγὸς* V, corr. Kn (cf. 60, 1), *τ'* vel *ἀνέφγες* Bss Bgk, *ἀνεφγυῖ'* Nb ‖ 7 *ἡμᾶς* A | *βλάπτουσιν μ. ἡμᾶς ὠφελοῦσιν* V ‖ Epim. *ὁ* $\frac{\lambda}{o}$ + A

28 V 211 (Fur. 378); tetr. I 42 ‖ 1 *φρύνου γ.* V ‖ 2 *αὐτ̈* = *αὐτὸν*) etiam V, *αὐτόσ'* Fur. Eb ‖ 4 *εἶπον* frustra add. Fur. noche p. 66, cf. 47, 6. 89, 4 | *μήτηρ* A | *ἄ. γ. πρὸ τῆς ὥρας* A V; = *ante tempus (potui) constitutum* (Iulian. ep. 37 p. 412 A) an *ante horam* (cf. 124, 19)? *τῆςδ'* Lm, *ἄ. πρωΐης* Db ‖ 5 *ἦλ-ν* ipsi AV ‖ 6 *μαλαχθείς* V, *παλαχθεὶς* Hch, *παταχθεὶς* G. Schneider, cf. Hor. sat. II 3, 314, Phaedr. I 30, 10 ‖ 7 *φυ-σα ἑαυτὴν* A m. pr., corr. m. recc. | *τοιοῦτον* AV, *τοσοῦτον* pleque ‖ 8 *παύου μὶ πρίου μῆτερ* V; *μὴ πρήθου* Bgk, ft. recte

f. 12a θᾶσσον σεαυτήν“ εἶπον „ἐκ μέσου ῥήξεις,
ἢ τὴν ἐκείνου ποσσότητα μιμήσῃ.“
[Ὅτι ἐπικίνδυνον τοῖς ἐλάττοσι παρατείνεσθαι τοῖς μείζοσι.

29 Γέρων ποθ’ ἵππος εἰς ἀλητὸν ἐπράθη,
ζευχθεὶς δ’ ὑπὸ μύλην πᾶσαν ἑσπέρην . . .
* * * * * * * * * *
καὶ δὴ στενάξας εἶπεν „ἐκ δρόμων οἵων
καμπτῆρας οἵους ἀλφιτεῦσι γυρεύω.“
[μὴ λίαν ἐπαίρου πρὸς τὸ τῆς ἀκμῆς γαῦρον.
πολλοῖς τὸ γῆρας ἐν κόποις ἀνηλώθη.]

30 Γλύψας ἐπώλει λύγδινόν τις Ἑρμείην.
τὸν δ’ ἠγόραζον ἄνδρες, ὃς μὲν εἰς στήλην
(υἱὸς γὰρ αὐτῷ προσφάτως ἐτεθνήκει),
ὃ δὲ χειροτέχνης ὡς θεὸν καθιδρύσων.
ἦν δ’ ὀψέ, χὡ λιθουργὸς οὐκ ἐπεπράκει,
συνθέμενος αὐτοῖς εἰς τὸν ὄρθρον αὖ δεῖξαι
ἐλθοῦσιν. ὁ δὲ λιθουργὸς εἶδεν ὑπνώσας

28, 9e cf. 41, 1 ‖ 29, 3i = 12, 6. 21, 3. 79, 2. 95, 5:

28, 9 ῥήξεισ, σ ex ν m. pr. A ‖ 10 ποιότητα AXV, πιότ[η] Cor., ποσσότητα Bss
29 B 22 MP¹ 14, P 17, plenius Aphth. 13; cf. Doxop. Rh[et.] Gr. II 173 W. ‖ 2 ὑπὸ μύλην (◡ ◡ | ◡ –) vix est Babrii | πᾶ[σαν] ἑσπέρην A m. pr., β α suprascr. τάλας add. m. recc.; π. ἑ. ⟨ἤλ[εσ’]⟩ Eb Grumme, ⟨ἤλεσ’⟩ ἑ. π. Lm | ἑσπέρην = νύκτα, cf. Lycophr. comment. Gryph. p. 64 ‖ 4 ἀλφίτοισι A, corr. Mk ‖ Fab[ula] licet e proverbio ἵππου γῆρας sit orta utique decurtata; laet[am] rem explicarunt Aphth. Phaedrus app. 19; cf. Apul. met. IX 1[3] [5. 6] Lm, = prom. B | λίαν ◡ ◡ prodit interpolatorem, cf. 41, 6 ἐν κόποις B, εἰς πόνους A
30 Av. 23, 1 Suid., cf. paroem. I p. 85 sq. ‖ 1 Ἑρμείαι[ν] s. λύγδινα ‖ 4 χειροτέχνημ’ Lm O. Schneider, sed cf. Hero[d.] VII 74, Cor. 148; Av. 23, 5 *alter adoratis ut ferret numina temp[lis]* fabulae acumen non perspexit, cf. Deneken, lex. mythol. I 25[8] 5 καὶ ὁ A, corr. Bss | post 5 v. excidisse suspicatur Bs[s] 6 δείξειν Eb ‖ 7 εἶτεν Hl, ἔνθεν Ah

*αὐτὸν τὸν Ἑρμῆν ἐν πύλαις ὀνειρείαις,*
*„εἶεν," λέγοντα „τἀμὰ νῦν ταλαντεύῃ·*
*ἓν γάρ με, νεκρὸν ἢ θεόν, σὺ ποιήσεις."*

31 *Γαλαῖ ποτ' εἶχον καὶ μύες πρὸς ἀλλήλους*
*ἄσπονδον ἀεὶ πόλεμον αἱμάτων πλήρη·*
*γαλαῖ δ' ἐνίκων. οἱ μύες δὲ τῆς ἥττης*
*ἐδόκουν ὑπάρχειν αἰτίην σφίσιν ταύτην,*
*ὅτι στρατηγοὺς οὐκ ἔχοιεν ἐκδήλους,*
*ἀεὶ δ' ἀτάκτως ὑπομένουσι κινδύνους.*
*εἵλοντο τοίνυν τοὺς γένει τε καὶ ῥώμῃ*
*γνώμῃ τ' ἀρίστους, εἰς μάχην τε γενναίους,*
*οἳ σφᾶς ἐκόσμουν καὶ διεῖλον εἰς φρήτρας*
*λόχους τε καὶ φάλαγγας, ὡς παρ' ἀνθρώποις.*
*ἐπεὶ δ' ἐτάχθη πάντα καὶ συνηθροίσθη,*
*καί τις γαλῆν μῦς προὐκαλεῖτο θαρσήσας,*
*οἵ τε στρατηγοὶ λεπτὰ πηλίνων τοίχων*
*κάρφη μετώποις ἁρμόσαντες ἀκραίοις*

---

**30**, 8me cf. 97, 5 ‖ **31**, 1e = 64, 1 | 2me = 132, 5 (37, 8) | 3e = 5, 9 | 10me = 49, 4. 12, 14 | 12me = 1, 4 | 13e = 112, 3 | 14e = 95, 40

---

**30**, 9 *εἶδεν λέγοντα* A, corr. Hl Gb, *σὺ δὴ λ.* Mk, *ἰδοῦ λ.* Bgk Seidler | *ταλαντεύεις* Nck *Mél.* IV ‖ 10 *ἓν* A, *ἢ* Lm ‖ Post v. 10 duorum versuum spat. vac., *λεῖπ* m. r. in mg. sin.

**31** B 20 P[1] 13; 9. 17 Suid., cf. Dos. 3 p. 27 ‖ 2 *αἰεὶ* Men. ‖ 4 *σφι//σιν, ι* prius ex *η* A ‖ 5 *ἔχουσιν* Nck, sed cf. 15, 8 ‖ 6 *ἀτάκτους* A, corr. Bss ‖ 7 *εἵλοντο* A etiam m. pr. (non *τε*), atram. obd. m. r. | 7 sq. cf. Herodian. VI 5, 10 ‖ 9. 10 Suid. s. *φρήτρα* | 9 *ἐς φρήτρας* Suid. s. v., cf. *B* 363; *εἰς εἴλας* (*ει* in *ι* mut. m. r.) glossema intrusit A, cf. Cr 139[3]. 150; Suid. s. *εἴλας*, *ἴλας* ad Babrium non referendum ‖ 10 *ὥσπερ ἀνθρώποις* vel *-ους* S, *ὡς ἐν ἀνθρώποις* A, corr. Eb, cf. locum similem s. s. ‖ 12 post 15 transp. Bss ‖ 13 *τειχῶν* A, corr. Bss ‖ 14 cf. Batrachom. 131. *Σ* 611. *σ* 378 | 14 sq. *ἀχρεῖα* A, corr. Db; *ἀρχεῖα* Hl, *'Ατρείδαις* | *ἰσοῦντο* Sd probabiliter ut in parodia Homerica, cf. *B* 480, ad v. 9; *χρύσεια* legit Dositheus

ὁμοῦ μὲν αὐτοὺς οὐκ ἔδοξε νικήσειν,
f. 16b λόγοις δ' ὑπούλοις διαβολαῖς τε συγκρούων
ἐχθροὺς ἐποίει, χωρίσας δ' ἀπ' ἀλλήλων
ἕκαστον αὐτῶν ἔσχε ῥᾳδίην θοίνην.
[ὅταν μάλιστα ζῆν θέλῃς ἀκινδύνως,
ἐχθροῖς ἀπίστει, τοὺς φίλους δ' ἀεὶ τήρει.]

45 Ἔνιφεν ὁ Ζεύς· αἰπόλος δέ τις φεύγων
εἰς ἄντρον εἰσήλαυνε τῶν ἀοικήτων
τὰς αἶγας ἁδρῇ χιόνι λευκανθιζούσας.
εὑρὼν δ' ἐκεῖ τάχιον εἰσδεδυκυίας
αἶγας κερούχους ἀγρίας πολὺ πλείους
ὧν αὐτὸς ἦγε, μείζονάς τε καὶ κρείσσους,
ταῖς μὲν φέρων ἔβαλλε θαλλὸν ἐξ ὕλης,
τὰς δ' ἰδίας ἀφῆκε μακρὰ λιμώττειν.
ὡς δ' ᾐθρίησε, τὰς μὲν εὗρε τεθνώσας,

---

**44**, 5e = 102, 6 | 6e cf. 132, 10 ‖ **45**, 3e = 22, 9

---

**44**, 3 *μὲν ὄντας* Sdl duce Aphth. ‖ 4 sq. [*διαβολαῖς* … *ἐποίει*] Nck, sed cf. Aphth. tetr. ‖ 6 *ῥαιδίαν* A ‖ [7. 8] Eb, = epim. (prom.) B* (in fine *τοῖς φίλοις δὲ πίστευε καὶ συντήρει*) ‖ V. 5 sq. a leonis persona alienos decurtatos esse crederem, nisi cum B P[1] facerent Aphth. et Avianus: Themistius bene volpem producit discordias serentem, ut fab. 95 ‖ Fol. 16b et 17a in margine superiore m. rec. s. XV/XVI litteris evanidis scripta correctoris ni fallor exclamatio [16b] *παν* …. *κυροῦ π^{πλ}* *κωνσταν^{τνε}* *ἔσχε ὅμοι* [17a] *ἐν τὲς πρὸς τὸν κύριον ἐντεύξεσιν τῶ παναθλίω θεοδώρω υμαρ^{τα}* (= ἁμαρτωλῶ Eb)

**45** B 37 P[1] 25, F 26 A[u] P[r] 6; tetr. II 14 ‖ 1 *ἔνειφεν* A ‖ 3 *ἄκρη* A, *ἁδρῇ* Db; num *ἄκρα*? cf. Schneider, Callim. p. 371 ‖ 8 *τὰς δ' ἰδίας* A (anacl. _ ∪ = ∪ _? cf. 107, 10), *τὰς ἰδίας δὲ ἀφεὶς* etiam B P[1]; *ἐνδίους* Hecker Schn; ⟨*ἄρ'*⟩ *ἰ.* Sd Eb, *δὲ τιθασοὺς* Bgk, *δ' ἡμέρας* Ellis, alii aliud | *ἀφῆκεν ἄκρα* Eb, sed cf. *μακρὰ κλαίειν* sim. Aristoph. Vesp. 584. Plut. 612. Eccl. 425 | *λιμώσσειν*? ‖ 9 *ἠθρίασε* A, *ᾐθρίαζε* Mk; cf. 92, 8. 120, 7

*αἳ δ' οὐκ ἔμειναν, ἀλλ' ὀρῶν ἀβοσκήτων*
*ἀνέμβατον δρυμῶνα ποσσὶν ἠρεύνων.*
*ὁ δ' αἰπόλος γελαστὸς ἦλθεν εἰς οἴκους*
*αἰγῶν ἔρημος· ἐλπίσας δὲ τὰ κρείσσω*
*οὐκ ὤνατ' οὐδ' ὧν αὐτὸς εἶχεν ἐκ πρώτης.*

[*Ὁ μῦθος ἡμᾶς ἐκδιδάσκει μηδαμῶς τῶν οἰκείων ἀμελεῖν, μάλιστα κέρδους ἕνεκα ἀμφιβόλου ὑπάρχοντος.*]

f. 17a

**46** *Ἔλαφος καθ' ὕλην γυῖα κοῦφα ναρκήσας*
*ἔκειτο πεδίων ἐν χλόῃ βαθυσχοίνῳ,*
*ἐξ ἧς ἑτοίμην χιλὸν εἶχε πεινήσας.*
*ἤρχοντο δ' ἀγέλαι ποικίλων ἐκεῖ ζῴων*
*ἐπισκοπούντων· ἦν γὰρ ἀβλαβὴς γείτων.*
*ἐλθὼν δ' ἕκαστος τῆς πόης τ' ἀποτρώγων*
*ᾔει πρὸς ὕλας οὐδ' ἐπῇεν εἰ θνήσκει·*
*ἔλαφος δὲ λιμῷ κοὐ νόσῳ κατεσκλήκει,*
*μή πω κορώνην δευτέρην ἀναπλήσας,*
*ὃς εἰ φίλους οὐκ ἔσχε, κἂν γεγηράκει.*

---

**46**, 6e cf. 117, 7 | 10e = 103, 2

---

**45**, 11 *ποσσὶν* ipse A ‖ [12—14] Rth, 13. 14 suspectaverat Eb, sed 12 sq. expressit B*, cf. praef. ‖ 12 *γελάσας* A, *γελαστὸς* Bt, cf. 80, 4; *στεναχτὸς* Bgk, *αἰπόλοις γελάσματ'* Piccolos; *ὁ δὲ αἰ. γελάσας* (!) *εἰς τὸν οἶκον ἦλθε κενός* B P[1] ‖ 13 *τὰς κρείσσους* A, corr. Bgk, cf. 73. 79 ‖ Epim. Augustanae fab. 6 aptius

**46** cf. Syntip. 20 Fur. 337, Cor. 377 ‖ 2 *βαθυσχίνῳ* O. Schneider, sed cf. 3, 4 ‖ 3 *ἑτοῖμον* Fx ‖ 4 *ζώων* A ‖ 6 *πόαστ'* A ‖ 7 *ὕλας· ὁ δὲ πεινίηι* (unde fecit in A *ὁ δέ γε πρὸς πείνης* Menas) *θνήισκει* A; *ὥστ' ἀχηνίῃ θν.* Piccol., *ὃ δ' ὑπ' ἀχηνίης θν.* Bgk, *οὐδ' ἐπήι' εἰ θν.* Gb, *οὐδ' ἐπῇεν εἰ θν.* Rth, sim. Eb olim; *ὁ δὲ πένης (τάλας) κατεσκλήκει* caeteris omissis LmBgkEb, *ὁ δὲ νεηνίης θν.* [8] Nck Schenkl; v. 7 extr. si interpolatoris est, suppl. fere *τοῦ νοσοῦντος ἀμνήμων* vel *τὸν νοσοῦντ' ἐῶν χαίρειν* ‖ 8 *καὶ οὐ* A m. pr., corr. Min. in cod. ‖ 9 cf. Hes. fr. 183 Rz., Arat. 1022, Iuv. 14, 25 | *δευτέραν* A

**46a**

* * *

[*Ὁ μῦθος τοῦτο λέγει, δεῖν τὰ ὁπωσοῦν ἐπιόντα δεινὰ λόγοις ἐξευμαρίζειν ἠπίοις, καὶ τὸ τούτων ὀχληρὸν ἀποπαύειν.*]

47 *Ἐν τοῖς παλαιοῖς ἦν ἀνὴρ ὑπεργήρως,*
*εἶχεν δὲ πολλοὺς παῖδας· οἷς ἐπισκήπτων*
*(ἔμελλε γὰρ δὴ τὸν βίον τελευτήσειν)*
*ἐκέλευσε λεπτῶν, εἴ τις ἔστι που, ῥάβδων*
*δεσμὴν ἐνεγκεῖν. ἧκέ τις φέρων ταύτην.*
*„πειρᾶσθε δή μοι, τέκνα, σὺν βίῃ πάσῃ*
*ῥάβδους κατᾶξαι δεδεμένας σὺν ἀλλήλαις.“*
*οἳ δ' οὐ γὰρ ἠδύναντο· „κατὰ μίαν τοίνυν*
*πειρᾶσθ'.“ ἑκάστης δ' εὐχερῶς καταγείσης,*
f. 17[b] *„ὦ παῖδες, οὕτως“ εἶπεν, „ἢν μὲν ἀλλήλοις*
*ὁμοφρονῆτε πάντες, οὐδ' ἂν εἷς ὕμας*
*βλάψαι δύναιτο, κἂν μέγιστον ἰσχύῃ·*

---

**47,** 3 e cf. 95, 35

---

**46a** Epimythium (cf. 60) ad fab. 46 non pertinet; excidit fabula. Syntip. 49 (Cor. 352), Ign. tetrast. I 24 huc rettulit Eb, similis etiam Nevel. 158 (Cor. 155 Hl 30) ‖ Epim. *τούτω* A

**47** B 38 F 52 (Cor. p. 358. 171); de Sciluro narrat Plut. de garrul. 17 p. 511 C (apophth. p. 174 F), cf. etiam Plut. Sert. 16 (Hor. ep. II 1, 46) ‖ 1 *ὑπεργήρως* A m. pr., acc. del. super *ε* acc. add. m. r. ‖ 2 *εἶχεν* ipse A ‖ 4 *ἐκέλευσε* A, *ἐκέλευε* vulgo | *ἐστί* A ‖ 5 *δεσμὴν* A m. pr., *δέσ-* m. r., cf. Lobeck paral. p. 396 | *ἧκά* A m. pr., *α* in *ε* m. r. ‖ 8 *μίαν* A, *μίην* plerique, sed cf. praef. ‖ 9 *πειρᾶσθαι* A m. pr., corr. m. rec. ‖ 10 ante *οὕτως* et post *εἶπεν* interpunxit A | *ἂν* A, corr. Eb ‖ 11 *ὑμᾶς* A

*ἣν δ' ἄλλος ἄλλου χωρὶς ἦτε τὴν γνώμην,*
*πείσεσθ' ἕκαστος ταὐτὰ τῇ μιῇ ῥάβδῳ.“*
*[φιλαδελφία μέγιστον ἀγαθὸν ἀνθρώποις,*
*ἣ καὶ ταπεινοὺς ὄντας ἦρεν εἰς ὕψος.*

*Ὁ μῦθος ἡμᾶς ἐκδιδάσκει ὅσον τὸ τῆς ὁμονοίας καλόν, καὶ τί πάλιν τὸ ἐπιζήμιον τοῖς μηδαμῶς ταύτην κεκτημένοις.]*

48 *Ἐν ὁδῷ τις Ἑρμῆς τετράγωνος εἱστήκει,*
*λίθων δ' ὑπ' αὐτῷ σωρὸς ἦν. κύων τούτῳ*
*εἶπεν προσελθὼν „χαῖρε πρῶτον, Ἑρμεία·*
*ἔπειτ' ἀλεῖψαι βούλομαί σε, μηδ' οὕτω*
*θεὸν παρελθεῖν· καὶ θεὸν παλαιστρίτην.“*
*ὁ δ' εἶπεν „ἤν μου τοῦτό μὴ 'πιλιχμήσῃς*
*τοὔλαιον ἐλθών, μηδέ μοι προσουρήσῃς,*
*χάριν εἴσομαί σοι· καὶ πλέον με μὴ τίμα.“*

*[Ὅτι τοῖς κακοῖς ἀρκεῖ τέως, οὐκ ἄλλως πως δυναμένοις τὰ βελτίω δρᾶσαι, κἂν τῶν συνήθων αὐτῶν αἰτιῶν ἀργῆσαι.]*

49 *Ἐκάθευδε νύκτωρ ἐργάτης ὑπ' ἀγνοίης*
f. 18ᵃ *φρέατος ἐγγύς. τῆς Τύχης δ' ἐπιστάσης*
*ἔδοξ' ἀκούειν „οὗτος, οὐκ ἐγερθήσῃ,*

---

47, 15 me = 85, 19

---

47, 14 *μιᾶι* A ‖ [15. 16] Lm ‖ 15 *μέγ'* A, *μέγιστον* coll. 85, 19 Lm, possis *μέγ' ἀ. ἐστιν*; sed haud scio an ῐ ᾰ interpolator admiserit ‖ 16 *ἦρεν* ipse A ‖ Epim. *Ὁ μῦ* (θ superscr.) A
48 cf. Macar. prov. IV 10 ‖ 3 *εἶπε* A, corr. Bss ‖ 6 *ἂν μου, μου* in *μὴ* corr. A m. pr.; *μοι* Fx, servavi *μου* | *'πιλιχμήσῃισ* A, *'πολιχμήσῃς* = *ἀπολ.* (Il. Φ 123) Bgk Rth ‖ Epim. *οὐ καλῶσ πῶσ* A, em. Bss | *δράσαι* A | In epimythio choliamborum vestigia (*τὰ βελτίω δρᾶσαι, . . . κἂν τῶν συνήθων αἰτιῶν ἀπαργῆσαι*) observavit Bss
49 B 33 M 36 $P^1$ 22, P 26; F 62 (cf. Cor. p. 252. 387 sq.) ‖ 1 *ἀγνοίας* A ‖ 2 *τύχησ* A ‖ 3 *οὗτοσ*, *-οσ* ex *-ωσ* m. pr. A

*μή σου πεσόντος αἰτίη παρ' ἀνθρώποις*
*ἐγὼ λέγωμαι καὶ κακὴν λάβω φήμην;*
*ἐμοὶ γὰρ ἐγκαλοῦσι πάντα συλλήβδην,*
*ὅσ' ἂν παρ' αὐτοῦ δυστυχῇ τις ἢ πίπτῃ.“*

[*Ἔλεγχος τῶν εἱμαρμένην δοξαζόντων καὶ ἀνάγκῃ τὰ τῆς ἡμῶν ἐξουσίας ὑποβαλλόντων καὶ μὴ τῷ αὐτεξουσίῳ εἰς δέον κεχρημένων.*]

50 *Ἔφευγ' ἀλώπηξ, τῆς δ' ὄπισθε φευγούσης*
*κυνηγὸς ἐτρόχαζεν. ἡ δ' ἐκεκμήκει,*
*δρυτόμον δ' ἰδοῦσα „πρὸς θεῶν σε σωτήρων,*
*κρύψον με ταύταις αἷς ἔκοψας αἰγείροις,*
*καὶ τῷ κυνηγῷ“ φησί „μή με μηνύσῃς.“*
*ὃ δ' οὐ προδώσειν ὤμνυ'· ἡ δ' ἀπεκρύφθη.*
*ἦλθεν κυνηγός, καὶ τὸν ἄνδρ' ἐπηρώτα,*
*μὴ τῇδ' ἀλώπηξ καταδέδυκεν ἢ φεύγει.*
*„οὐκ εἶδον“ εἶπε, τῷ δὲ δακτύλῳ νεύων*
*τὸν τόπον ἐδείκνυ' οὗ πανοῦργος ἐκρύφθη.*
*ὃ δ' οὐκ ἐπισχών, τῷ λόγῳ δὲ πιστεύσας,*
*παρῆλθε. θερμοῦ δ' ἐκφυγοῦσα κινδύνου*

---

**49**, 4e = 12, 14. 31, 10 ‖ **50**, 4e cf. 84, 4 | 5me = 3, 8; cf. 72, 18. 92, 10 | 7e = 95, 53. 103, 12 | 8ie = 95, 54

---

**49**, 4 *σοῦ* Eb | *σούμπεσόντος* Hl | *αἰτία* A ‖ 5 *γένωμαι* Nb ‖ 6. 7 om. B*, del. Kn ‖ 7 *αὐτοῦ* A m. pr., corr. m. rec. | *πταίῃ* Db, cf. 111, 21; *πίτνειν* (*πίπτειν*) eadem fere ratione adhibuerunt Plato Phaed. p. 100 E., Aristoph. Eq. 540, Eurip. Alc. 626 alii

**50** B 41 P[1] 27 M 23, A[c] Cor. 127, F 10 (Cor. p. 319), cf. Maxim. Tyr. I 3, 1 ‖ 3 *σωτῆρα* A, corr. BtFxLm ‖ 6 *ὁδ'* — *ἠδ'* ut solet A, acc. add. m. r. | *ὤμνυ* A ‖ 8 *ἢ τῇδ'* O. Schneider; nihil mutandum, cf. l. sim. supra adscriptum ‖ 10 *ἐδείκνυ* A ‖ 11 *οὐχὶ προσχὼν* Hartung, cf. 26, 5; *τῷ δὲ δακτύλῳ μὴ προσχὼν* BP[1]

f. 18v κερδὼ παχείης ἐξέκυπτεν αἰγείρου,
σεσηρὸς αἰκάλλουσα. τῇ δ' ὁ πρεσβύτης
‚ζωαγρίους μοι χάριτας' εἶπεν ‚ὀφλήσεις.'
| ‚ἐρρυσάμην σε' φησίν· ‚ἀλλά μου μνήσκου.' |
„πῶς οὐκ ἄν" εἶπεν „ὧν γε μάρτυς εἱστήκειν;
ἔρρωσο τοίνυν, καὶ τὸν Ὅρκον οὐ φεύξῃ
φωνῇ με σῴσας, δακτύλῳ δ' ἀποκτείνας."
[σοφὸν τὸ θεῖον κἀπλάνητον· οὐδ' ἄν τις
λαθεῖν ἐπιορκῶν προσδοκᾷ, Δίκην φεύγει.

Εὐκαίρως ὁ μῦθος ῥηθήσεται πρὸς ἐκείνους τοὺς χρηστὰ μὲν ἐπαγγελλομένους, δόλια δὲ καὶ φαῦλα ἐργαζομένους.]

**51** Ἐν τῷ ποτ' οἴκῳ πρόβατον εἶχέ τις χήρη,
θέλουσα δ' αὐτοῦ τὸν πόκον λαβεῖν μείζω
ἔκειρ' ἀτέχνως, τῆς τε σαρκὸς οὐ πόρρω
τὸν μαλλὸν ἐψάλιζεν, ὥστε τιτρώσκειν.
ἀλγοῦν δὲ πρόβατον εἶπε „μή με λυμαίνου·
πόσην γὰρ ὁλκὴν τοὐμὸν αἷμα προσθήσει;
ἀλλ' εἰ κρεῶν, δέσποινα, τῶν ἐμῶν χρῄζεις,

---

**50**, 14e = 98, 2; cf. 22, 2 ‖ **51**, 3e = 136, 13; cf. 105, 3 | 7 sqq. cf. 21, 6 sqq.

---

**50**, 13 παχείας A ‖ 14 ἀκάλλουσα A, corr. Bss ‖ 16 om. B*, del. Eb Bgk ‖ 16. 18 sedem verborum ἐρρυσάμην σε et ἔρρωσο τοίνυν permutavit M. Schmidt M. Rhen. XXVI 290 ‖ 17 εἱστήκειν· A, m. pr., l. ν erasa, εἱστήκη M. Schmidt, cf. Philol. XVII 326 extr. ‖ 19 μ' ἔσωσας — ἀπέκτεινας A, corr. Ah ‖ [20. 21] Lm | 20 καὶ ἀπλάνητον A, corr. Bss ‖ 21 φεύγειν (ν expunxit m. r.?) A, corr. Ah ‖ Versus 20 exitus atque anapaestus v. 21 interpolatorem produnt ‖ Epim. Ὁ μῦθ A

**51** B 39 M 22 P1 26 ‖ 1 τῷ Hm Lm | χήρα A ‖ 3 ἔκειρεν A m. pr., voluit ἔκειρ' (Eb) | ἀτεχνῶς A Rth, cf. 75, 1 [4] ‖ 5 μοι A m. pr.

*ἔστιν μάγειρος, ὅς με συντόμως θύσει·*
*εἰ δ' εἰρίων πόκου τε κοὐ κρεῶν χρῄζεις,*
*πάλιν ἔστι κουρεύς, ὃς κερεῖ με καὶ σώσει.“*

f. $19^a$
[*Πρὸς τοὺς μετὰ ἀπειρίας τοῖς πράγμασιν ἐγχειροῦντας, ἐξ ἧς οὐ τοσοῦτον τὸ κέρδος ὅση βλάβη προσγίνεται.*]

**52** *Εἰς ἄστυ τετράκυκλον ἄρρενες ταῦροι*
*ἅμαξαν ὤμοις εἷλκον· ἡ δ' ἐτετρίγει.*
*καὶ τὸν βοώτην θυμὸς εἶχε, τῇ δ' οὕτως*
*ἐγγὺς προσελθὼν εἶπεν ὡς ἀκουσθῆναι·*
*„ὦ παγκάκιστον κτημάτων, τί δὴ κρώζεις*
*ἄλλων ὑπ' ὤμοις φερομένη σιωπώντων;“*
[*κακοῦ πρὸς ἀνδρός ἐστι μακρὸν οἰμώζειν*
*ἄλλων πονούντων, αὐτὸς ὡσπερεὶ κάμνων.*

*Ὁ μῦθος τοῦτο λέγει, μηδαμῶς ἐν τοῖς πράγμασιν ἄλλων πονουμένων ἄλλους ἀδίκως οἰμώζειν καὶ πόνους ἀλλοτρίους ἑαυτοῖς ἐπιγράφειν.*]

---

51, 9e cf. 63, 10 || 52, 4im = 130, 4

---

**51,** 8 *μάγειρος ἔσται, ὅς* B || 9 *εἰ δὲ ἐρίον καὶ πόκον* B | *σὺ κοὐ* Bgk, utique planius || 10 *πάλιν — ἔστω* B*, *πάρεστι* Fx | *σώσει* AB*, *σῴσει* plerique || Epim. *τὸ* om. B*

**52** B 32 M 37 $P^1$ 21; $A^u$ 45 F 39; tetr. III 10. Cf. Arist. Vesp. 1400 sqq. || 1 *ἄρρενες* A, '*viriles*', *robusti*, cf. Anth. P. XI 20, Soph. fr. 480; *ἀτρέμας* (-*μές*, -*μεῖς*) vel *ἠρέμας* Cr olim, sim. Gb Rth || 2 *ἤδ'* (acc. m. r.) A || 3 *βοώτης* = *βοηλάτης*, cf. Arat. 92 | *εἷλε* Lm, cf. 18, 12 | *εἶλ', ἔφη δ' οὕτως* del. v. 4 Eb Gb Rth, perperam; neque cur de 'mira verborum copia' queratur Zachar. p. 29 intellego || 5 *κράζεις* paraphr. || 6 *ἄλλων ἐπ'* A, corr. Cr ann. $246^{51}$, nam *ἐπ' ὤμοις* coll. v. 2 'prorsus mirum' (Eb); *ἄλλων ὑπ'* = *ἄλλων ὕπο*, cf. 95, 2 | Cf. Arist. Vesp. 1426. Philogelos 48 Eb || [7. 8] Lm, cf. 81, 5 || 8 *πονούντων* (et 10 *πονουμ.*) ipse A | *ὡσείπερ αὐτὸς κάμνων* A, corr. Hm || Epim. 'aut *ἄλλους* delendum aut *δεῖν* suppl.' Eb

53 *Εἰς λύκον ἀλώπηξ ἐμπεσοῦσα δειλαίη*
*ζωγρεῖν ἐδεῖτο, μηδὲ γραῦν ἀποκτείνειν.*
*ὃ δ' „ἤν λόγους μοι τρεῖς ἀληθινοὺς εἴπῃς,*
*ἐγώ σε νὴ τὸν Πᾶνα“ φησί „ζωγρήσω.“*
*ἣ δ' „εἴθε μέν μοι πρῶτα μὴ συνηντήκεις·*
*ἔπειτα ⟨δ'⟩, εἴθε τυφλὸς ὢν ὑπηντήκεις·*
*τρίτον δ' ἐπ' αὐτοῖς“ εἶπε „μή σύ γ' εἰς ὥρας*
*ἵκοιο, μὴ δή μοι πάλιν συναντήσῃς.“*

[*Ὅτι πολλάκις αἱ περιστάσεις πεφύκασι καὶ παρὰ γνώμην τὰ*
f. 19b *σιγῆς ἄξια εἰς τοὐμφανὲς ἄγειν.*]

54 *Εὐνοῦχος ἦλθε πρὸς θύτην ὑπὲρ παίδων*
*σκεψόμενος. ὁ θύτης δ' ἀγνὸν ἧπαρ ἁπλώσας*
*„ὅταν μέν“ εἶπε „ταῦτ' ἴδω, πατὴρ γίνῃ,*
*ὅταν δὲ τὴν σὴν ὄψιν, οὐδ' ἀνὴρ φαίνῃ.“*

[*Πρὸς τοὺς τὰς εὐχὰς ὑπὲρ τῶν οὐ δεόντων ποιουμένους ἢ καὶ ἄλλως μὴ δυναμένων γενέσθαι.*]

---

53, 4 e = 107, 16 | 7 im cf. prooem. I 3 sq. || 54, 2 e = 95, 2. 74, 3 | 7 sq. e = 101, 7 sq.

---

53 B 31 P 25 P1 20; tetr. II 5 [?]; cf. Cr p. 208, ann. p. 246 || 1 *δηλαίη* A || 3 *ἂν* A || 3. 5 *ὁδ'—ἡδ'* A m. pr., *ὃδ'—ἣδ'* m. rec. || 4 *φησὶ νὴ τὸν πᾶνα* A, corr. Ah Fx || 5 *σοι . . . συνηντήκειν* ex B* Bgk || 6 *ἔπειτα· εἴθε* A, suppl. Bss || [6] Bgk, exprimit B P om. P1 || 7 *εἶπε* A (Rth), *εἴθε* Lm || 8 *μὴ δέ* A, *μὴ δὴ* Eb *μή πως* Bgk | *πάλιν ἐμοὶ* Ah | *συναντήσῃισ* (*ι* del.) A, *καὶ πάλιν συναντήσῃς μοι* B

54, 1 *ἦλθεν* A, *ν* erasa || 2 *χρησόμενος* Nck *Mél.* IV 192 | *ἀγνοεῖν παραπλώσασ*, A, corr. Lm, *ἀρνὸς ἧ. ἁ.* Ah || 3 *ὅτ' ἂν* ut solet A | *ἑιπεταῦτ'* ductu perpetuo, quod A ante Eb *εἶπε αὐτ'* legebatur; an *θῦμ'*? || Epim. *εἰ καὶ* A, corr. Bss | *ὅλως μὴ* Eb

**55** *Ἕνα βοῦν τις εἶχε, τὴν ὄνον δὲ συζεύξας*
*ἠροτρία, πτωχῶς μέν, ἀλλ' ἀναγκαίως.*
*ἐπεὶ δὲ τοὖργον ἐτετέλεστο καὶ λύειν*
*ἔμελλεν αὐτούς, ἥ τ' ὄνος διηρώτα*
*τὸν βοῦν „τίς ἄξει τῷ γέροντι τὰ σκεύη;"*
*ὁ δὲ βοῦς πρὸς αὐτὴν εἶπεν „ὅσπερ εἰώθει."*

**56** *Εὐτεκνίης ἔπαθλα πᾶσι τοῖς ζῴοις*
*ὁ Ζεὺς ἔθηκε, πάντα δ' ἔβλεπεν κρίνων.*
*ἦλθεν δὲ καὶ πίθηκος ὡς καλὸν μήτηρ*
*πίθωνα γυμνὸν σιμὸν ἠρμένη κόλποις.*
*γέλως δ' ἐπ' αὐτῷ τοῖς θεοῖς ἐκινήθη.*
*ἡ δ' εἶπεν οὕτω· „Ζεὺς μὲν οἶδε τὴν νίκην,*
*ἐμοὶ δὲ πάντων οὗτός ἐστι καλλίων."*
f. 20a [*ὁ λόγος δοκεῖ μοι πᾶσι τοῦτο σημαίνειν,*
*τὸν αὐτὸς αὐτοῦ πᾶς τις εὐπρεπῆ κρίνει.*]

**57** *Ἑρμῆς ἅμαξαν ψευσμάτων τε πληρώσας*
*ἀπάτης τε πολλῆς καὶ πανουργίης πάσης*

---

**55**, 2e cf. 15, 4. 130, 6 | 6im cf. 64, 7 | 7e cf. 16, 9 || **56**, 1 im=120, 3 | 5m cf. 31,21 | 6 cf. 72,15 || **57**, 2me=95, 52

---

**55** V 173 (p. 678 Kn.) = Fur. 371; fluxit e proverbiis, cf. Zenob. volg. 254 p. 70, Bodl. 393, Macar. 675 infra p. 248 || 3 *τετέλεστο* A, corr. Bss || 4 *ή τ'* m. pr., *ἦτ'* m. r. A, *ἡ* etiam V; *εἶτ'* LmEbRth; v. 6 *δὲ* apodoticum, cf. 31, 16 || 5 *τῷ γηπόνῳ* V || 6 *ὁ δὲ πρὸς* V, *ὅδε πρὸς* Gb | *ὅσπερ*, *ο* ex *ω* corr. m. pr. A || Post v. 6 duorum vv. spat. vacuum A

**56** Avian. 14; cf. Epicharm. 43 p. 270 L. || 2 *ἔβλεπε* A || 3 *καλὴ μῆρ* A, *καλοῦ* Bss, *καλὸν* (ad *πίθωνα*) SdCr || 4 *πιθῶνα* A, corr. Bss | *σιμόν*, *ι* ex *η* A m. pr. || 6 *οἱ δὲ μὲν* m. pr. A, corr. m. r. || [8. 9] Lm || 9 *τὸν αὐτὸσ αὐτοῦ* A, cf. Krügeri Gr. § 51, 2. 13; *αὐτὸς τὸν* Eb, *γόνον τὸν* Nb, alii aliud

**57** B 40, V Fur. p. 142. Cf. Hes. fr. 45 Rz. (Cr p. 141), Plato Prot. 322 c || 2 *πανουργίας* A

ἤλαυνε διὰ γῆς, ἄλλο φῦλον ἐξ ἄλλου
σχεθίην ἀμείβων καὶ μέρος τι τῶν ὤνων
νέμων ἑκάστῳ μικρόν. ὡς δὲ τῷ χώρῳ
τῷ τῶν Ἀράβων ἐπῆλθε καὶ διεξῄει,
λέγουσιν αὐτοῦ συντριβεῖσαν ἐξαίφνης
ἐπισταθῆναι τὴν ἅμαξαν. οἳ δ' ὥσπερ
πολύτιμον ἁρπάζοντες ἐμπόρου φόρτον,
ἐκένωσαν αὐτὴν οὐδ' ἀφῆκαν εἰς ἄλλους
ἔτι προελθεῖν, καίπερ ὄντας, ἀνθρώπους.
ἐντεῦθεν Ἄραβές εἰσιν, ὡς ἐπειράθην,
ψεῦσταί τε καὶ γόητες, ὧν ἐπὶ γλώσσης
οὐδὲν κάθηται ῥῆμα τῆς ἀληθείης.

58 Ζεὺς ἐν πίθῳ τὰ χρηστὰ πάντα συλλέξας
ἔθηκεν αὐτὸν πωμάσας παρ' ἀνθρώπῳ.

---

57, 3me = 72, 11 | 12e = 96, 4. 134, 16 | 14e cf. 75, 20. 95, 99. 81, 4. 83, 4

---

57, 4 *σχέθην* BgkHm | *τῶν ἀνων* (= *ἀνθρώπων*) A, corr. Eb; *ὤνων* = *ὠνίων* singulare, *δώρων* Fx, *ὄντων* Nck ‖ 5 *ἑκάστω* A ‖ 6 *τῶν τότ' Ἀ.* SdEb, *τῶν Ἀραβίων* Db; in nomine proprio anapaestum admisi ‖ [7. 8. 9] Rth, *συντρίβει τὴν ἅμαξαν κενὴν φορτίων* etiam V; *λέγεται ἐξαίφνης συντριβῆναι τὴν ἅμαξαν. οἱ δὲ ὥσπερ π. φόρτον τὰ ἐξ αὐτῆς ἁρπάσαντες* B ‖ 11 sq. *οὐκ ἀφῆκαν εἰς ἄλλους ἄ. προελθεῖν* rel. om. B, *οἱ δὲ εἰς ἄλλους τόπους οὐκ εἴασαν ὁδεῦσαι* V, ubi sequitur *οὐδὲ τὰ κοινὰ τοῖς ἀνθρώποις ἐπιτελεῖν δυνάμενοι* = F 19; excidit igitur exitus et astrologi fabella (infra p. 273) ‖ 11 *προσελθεῖν* A, corr. Bss, cf. B | *καὶ περιόντας* Ah, *γειτνιῶντας* vel *γῆν πολοῦντας* Fx, *ἀντερῶντας* M. Schmidt (Jen. L.-Z. 1876, 81) | *καὶ περᾶν πρόσω ῥώπους* Bgk, cf. prol. ‖ [11] Nck ‖ 12 *ἐπειρήθην*? cf. 106, 4. 29, 1. 30, 5. 46, 9. 74, 15. 103, 2. 62, 1 ‖ 14 *ἀληθείας* A ‖ 12. 14 = prom. B ‖ Post v. 14 duorum versuum spat. vacuum; f. 20[a] in mg. sup. *ἀρχὴ του* $\overline{\zeta}$ (seq. litterae evanidae) m. 3, iterum *ἀ. τ.* $\overline{\zeta}$ in mg. sin. m. 2

58 H[arleianus] 3521 (Tyrwhitti) f. 17[a], B 44. Cf. Cr p. 210 ‖ 1 *χριστὰ* A m. pr., corr. m. r. | *συγκλείσας* B

*ὁ δ' ἀκρατὴς ἄνθρωπος εἰδέναι σπεύδων*
*τί ποτ' ἦν ἐν αὐτῷ, καὶ τὸ πῶμα κινήσας,*
f. 20b *διῆκ' ἀπελθεῖν αὐτὰ πρὸς θεῶν οἴκους,*
*κἀκεῖ πέτεσθαι τῆς τε γῆς ἄνω φεύγειν.*
*μόνη δ' ἔμεινεν ἐλπίς, ἣν κατειλήφει*
*τεθὲν τὸ πῶμα. τοιγὰρ ἐλπὶς ἀνθρώποις*
*μόνη σύνεστι, τῶν πεφευγότων ἥμας*
*ἀγαθῶν ἕκαστον ἐγγυωμένη δώσειν.*

**59** *Ζεὺς καὶ Ποσειδῶν, φασί, καὶ τρίτη τούτοις*
*ἦριζ' Ἀθηνᾶ, τίς καλόν τι ποιήσει.*
*ποιεῖ μὲν ὁ Ζεὺς ἐκπρεπέστατον ζῴων*
*ἄνθρωπον, ἡ δὲ Παλλὰς οἶκον ἀνθρώποις,*
*ὁ δ' αὖ Ποσειδῶν ταῦρον. ᾑρέθη τούτοις*
*κριτὴς ὁ Μῶμος· ἔτι γὰρ ἐν θεοῖς ᾤκει.*
*κἀκεῖνος, ὡς πέφυκε πάντας ἐχθραίνων,*
*πρῶτον μὲν εὐθὺς ἔψεγεν τὸ τοῦ ταύρου,*
*τῶν ὀμμάτων τὰ κέρατα μὴ κάτω κεῖσθαι,*
*ὡς ἂν βλέπων ἔτυπτε· τοῦ δέ γ' ἀνθρώπου,*
*μὴ σχεῖν θυρωτὰ μηδ' ἀνοικτὰ τὰ στήθη,*

---

**58,** 5e = 72, 2 | 6e cf. 65, 6 | 7e = 70, 3 | 8m = 63, 10 ‖ **59,** 2e = 130, 2 | 3me cf. 13, 7. 64, 5 (114, 3. 66, 1 sq.)

---

**58,** 5 *πάντα δὲ ἐπετάσθησαν πρὸς τοὺς θεοὺς* B rell. om. ‖ [6] EbKnRth, *νέμεσθαι* Bgk, *κἄνω πέτεσθαι . . . γῆς πρόσω* Mähly; sed cf. 65, 6. 8, 2 ‖ *δὲ* corr. in *τε* H ‖ 7 *κατεῖλήφεν*, acc. *εν* in *ει* corr. H ‖ 8 *ἀ͞νοις* A ‖ 9 *ἡμᾶς* A
**59** B 43; longius absunt Nev. 193 A[u] 100, cf. Cr p. 211 ‖ 1 *'ν τούτοις*? ‖ 3 *ζῷιον* A, corr. Db, cf. locos similes s. s. ‖ 4 *ἀ͞νοις* A ‖ 5 *ἡρέθη* A ‖ 7 *ἐχθραίνειν*? Schnw ‖ 9 [*τὰ*] Eb p. XI, obs. 5, cf. 84, 1 ‖ 10 *ὡς ἂν* cf. Krügeri Gr. § 54, 8, 4 e 8 | ***κἀνθρώπου*** sine causa Rth

*ὡς ἂν βλέποιτο τῷ πέλας τί βουλεύοι·*
*τῆς οἰκίης δέ, μὴ τροχοὺς σιδηρείους*
*ἐν τοῖς θεμελίοις γεγονέναι, τόπους τ' ἄλλους*
*συνεξαμείβειν δεσπόταισιν ἐκδήμοις,*
*καὶ τὸν πονηρὸν γείτον' ὥσθ' ὑπεκφεύγειν.*
[*τί οὖν ὁ μῦθός φησιν ἐν διηγήσει;*
*πειρῶ τι ποιεῖν, τὸν φθόνον δὲ μὴ κρίνειν.*
*ἀρεστὸν ἁπλῶς οὐδέν ἐστι τῷ μώμῳ.*]

**60** *Ζωμοῦ χύτρῃ μῦς ἐμπεσὼν ἀπωμάστῳ*
*καὶ τῷ λίπει πνιγόμενος ἐκπνέων τ' ἤδη*
*„βέβρωκα" φησίν „καὶ πέπωκα καὶ πάσης*
*τρυφῆς πέπλησμαι· καιρός ἐστί μοι θνήσκειν."*
[*τότ' ἂν λίχνος γένοιο μῦς ἐν ἀνθρώποις,*
*ἐὰν τὸ καταβλάπτον ἡδὺ μὴ παραιτήσῃ.*
*Ὅτι τὰ ἐπερχόμενα κατὰ ἀνάγκην κακὰ εἰώθάν τινες τοιούτοις ἐξομαλίζειν λόγοις.*]

---

**60**, 2e = 17, 5. 93, 6 | 5e = 66, 4. 87, 6

---

**59**, 12 *βλέποιτο τὸ* m. pr., *ν* add. m. r. A, corr. Cr (cf. 59, 5), *βλέποι τις τὸν* Bgk, *βλέποι τὸ τοῦ π.* GbRth ‖ 13 *οἰκίας* A ‖ 14 *θεμέθλοις, θεμειλίοις?* Fx | *δ' ἄλλους* A, corr. GbCr, *δ'* del. Bss ‖ 15 *ἵνα καὶ τοῖς δεσπόταις συνεξεδήμει καὶ γείτονα πονηρὸν ἐξέφευγεν* B (sim. NevA^u), unde coll. Philem. 114 Philol. XLVI 629 restitui 15^a; *ὡς τὸν πονηρὸν γείτον' ἦν ἂν ἐκφεύγειν* Lm. Quod addunt A^uNev *καὶ ὁ Ζεὺς . . τοῦ Ὀλύμπου αὐτὸν ἐξέβαλεν*, aut fluxit e v. 6, aut ad exitum spectat nunc oppressum, cf. Iulian. Ep. 59, 16 p. 445 D. ‖ [16—18] Eb ‖ 17 *μὴ φθ. δ' ἔα κρ.* Eb, *σὺν φθόνῳ δὲ μὴ κρίνειν* vel *τὸν φθ. δ' ἔα χαίρειν* Nck

**60** cf. F 117 ‖ 1 *ζωμῶι* A | *χύτρα* A | *μυῖα* F, cf. Luc. musc. enc. 4, Aristoph. Daet. fr. 203 K.; at *μυῖ' ἐμπεσοῦσ'* scribi non potest propter v. 2, cf. etiam Callim. fr. 201, Eust. ρ 455 p. 1828, 17 *μῦς ἐν ἅλμῃ* (Cr. quaest. Herond. p. 459) ‖ 2 sq. *ἀλλ' ἔγωγε καὶ βέβρωκα καὶ πέπωκα καὶ λέλουμαι κτλ.* F ‖ 3 *φησί* edd. ‖ 4 *τροφης* (sic) A, corr. Bss | cf. app. prov. I 77 ‖ [5. 6] Lm | *τότε* A m. pr., corr. m. rec. ‖ 6 *ἂν τὸ* Bss ‖ Epim. *εἰωθάν* A m. pr., *-ασίν* m. rec., cf. 71 epim. | *ἐξομαλίζειν*, ο ex ω m. pr. A | *ἀρχὴ τοῦ η* A m. 2 in mg.

61 Ἤιει κυνηγὸς ἐξ ὄρους κυνηγήσας,
ἤει δὲ γριπεὺς κύρτον ἰχθύων πλήσας.
καί πως συνηβόλησαν οἱ δύ' ἀλλήλοις,
χὼ μὲν κυνηγὸς ἰχθύων ἁλιπλώων,
θήρην δ' ὁ γριπεὺς ἠρέτιζεν ἀγρείην,
τά τ' εἶχον ἀντέδωκαν. εἶτα τὴν θήρην
ἤμειβον ἀεί, δεῖπνα δ' εἶχον ἡδίω,
ἕως τις αὐτοῖς εἶπεν „ἀλλὰ καὶ τούτων
τὸ χρηστὸν ἐξολεῖτε τῇ συνηθείῃ,
πάλιν δ' ἕκαστος ἃ πρὶν εἶχε ζητήσει.“

f. 21b

[Ὅτι πᾶς δυσάρεστος, τοῦ παρόντος ἡδέος μικρόν τι ἀπολαύσας, εὐθὺς τὴν ἐπιθυμίαν ἐφ' ἕτερον τρέπει.]

62 Ἡμίονος ἀργῆς χιλὸν ἐσθίων φάτνης
καὶ κριθιήσας ἐτρόχαζε κἀφώνει
τένοντα σείων „ἵππος ἐστί μοι μήτηρ,
ἐγὼ δ' ἐκείνης οὐδὲν ἐν δρόμοις ἥττων.“

---

61, 3me = 12, 5 ‖ 62, 3e cf. 95, 14 | 4me cf. 67, 2

---

61 cf. Sophron. mim. rell. p. 11 Botz. ‖ 3 litteris ηβόλησαν superscr. m. recc. (Minae) ἐμβάλλωσιν; cf. Hes. συνηβόλησεν· ἀπήντησεν (Callim. fr. 455) | ἁλιπλώτων Fx, ἁλιζώων Sp; cf. Herodian. I p. 128 II p. 420 L. ‖ 5 θήραν A, θηρῶν Bgk | ἠρέθιζεν A, corr. Db Lm, cf. 95, 65 | ἀγρίην A, corr. Db Lm ‖ 7 ἡδίω, ι ex ει m. pr. A ‖ 8 ἕως formula Babriana, cf. 10, 9. 36, 9. 77, 10 καὶ δὴ Eb ‖ 9 ἐξολεῖται A, corr. Db | συνηθείαι A ‖ Epim. μικροῦ A, corr. Lm | In epimythio latere videntur iambi byzantini πᾶς — ἡδέος ⋮ . . . ἐφ' ἕτερον τρέπει

62 B 46 M 25 P1 46; Ac Cor. 140; F 83 (iamb. Byz. ); cf. Plut. VII Sap. p. 150 A ‖ 1 ἀργῆς A, ἀργὸς Fx Schw Eb, sed Triphiod. 14 dixit ἵπποι . . ἀεργηλῆς ἐπὶ φάτναις; sim. θῆσσα τράπεζα, ἐλευθέριον ὕδωρ, cf. ad 76, 9 ‖ 2 κριθιάσας A, cf. 92, 8. 120, 7. 45, 9 | καιφώνει erasa ι A

ἄφνω δ' ἔπαυσε τὸν δρόμον κατηφήσας·
ὄνου γὰρ εὐθὺς πατρὸς ὢν ἀνεμνήσθη.

[Ὁ μῦθος διδάσκει ἡμᾶς μὴ μέγα φρονεῖν ἐν ταῖς εὐημερίαις, μάλιστα δὲ τοὺς ἐξ ἀγενῶν προγόνων κατὰ τύχην δοξασθέντας.]

**63** Ἦν τις κατ' οἴκους ἀνδρὸς εὐσεβοῦς ἥρως
ἔχων ἐν αὐλῇ τέμενος· ἔνθα δὴ θύων
στέφων τε βωμοὺς καὶ καταβρέχων οἴνῳ
προσηύχετ' ἀεί „χαῖρε, φίλταθ' ἡρώων,
καὶ τὸν σύνοικον ἀγαθὰ δαψιλῆ ποίει."
κἀκεῖνος αὐτῷ νυκτὸς ἐν μέσαις ὥραις
„ἀγαθὸν μέν" εἶπεν „οὐδ' ἂν ⟨εἷς⟩ τις ἡρώων,
ὦ τᾶν, παράσχοι· ταῦτα τοὺς θεοὺς αἴτει·
κακῶν δὲ πάντων, ἅτε σύνεστιν ἀνθρώποις,
δοτῆρες ἡμεῖς. τοιγὰρ εἰ κακῶν χρῄζεις,
εὔχου· παρέξω πολλά, κἂν ἓν αἰτήσῃς.
f. 22ᵃ πρὸς ταῦτα λοιπὸν αὐτὸς οἶδας ἢν θύσῃς."

[Ὅτι τοὺς πονηροὺς οὐ δεῖ αἰτεῖν ἀγαθά· οὐ γὰρ παρέξουσιν. εἰ δὲ κακά τις αἰτεῖται, ἑτοίμως μᾶλλον παρέχουσι.]

---

**63**, 6e = 95, 34 | 9 cf. 58, 8 | 10e cf. 51, 9 | 12i = 98, 10

---

**62**, 6 *οὖσα ἀν.* B ‖ Viam praeisse Archilochum suspicor, cui tribuo Hes. *πατρόθεν πορδηκίδαι· ὅτι πατέρων εἰσὶν ὄνων ἡμίονοι* (PL. III p. 741).

**63** cf. F 80, $A^u$ 109 Epim. Georg. ‖ 7 *εἷς* add. Mk, *εἰ* Bgk ‖ 8 *οὔτ' ἂν* A (lacunae ind.?), corr. Hm Mk Piccol.; *οὐδέν* Gb, *θέλοι* Bgk ‖ 9 *ἄγε* Fx, cf. Krügeri gr. II 25, 5, 5. 51, 8, 2 | *ἀν̄οις* A ‖ [12] olim, Rth | *ἀνθύσηις+* A, *ἂν θύσῃς* Hl, *εἰ* vel *ᾧ* (*οἷς* Sd) *θύσεις* Db; subintellegendum *ἐμέ*, vel *μ' αὐτός* scribendum, cf. 137, 7 ‖ Epim. *δεῖ τὸν πονηρὸν ἄνδρα μὴ αἰ. ἀγ., κακὰ δὲ μᾶλλον αἰτούμενος ἑτοίμως παρέξει* Georgides Bss. An. I p. 31 ‖ Aliud epim. in F $A^u$

64 Ἤριζον ἐλάτη καὶ βάτος πρὸς ἀλλήλας.
ἐλάτης δ' ἑαυτὴν πολλαχῶς ἐπαινούσης
„καλὴ μέν εἰμι καὶ τὸ μέτρον εὐμήκης,
καὶ τῶν νεφῶν σύνοικος ὀρθίη φύω,
στέγης τε μέλαθρόν εἰμι καὶ τρόπις πλοίων,
δένδρων τοσούτων ἐκπρεπεστάτη πάντων",
βάτος πρὸς αὐτὴν εἶπεν· „ἢν λάβῃς μνήμην
[τῶν πελέκεών ⟨τε⟩ τῶν ἀεί σε κοπτόντων,]
καὶ τῶν πελύκων τῶν ἀεί σε τεμνόντων,
βάτος γενέσθαι καὶ σὺ μᾶλλον αἱρήσῃ."
[ἅπας ὁ λαμπρὸς τῶν ἐλαττόνων μᾶλλον
καὶ δόξαν ἔσχε χὐπέμεινε κινδύνους.
Ὁ μῦθος πρὸς τοὺς κοσμικαῖς ἀρχαῖς μεγαλοφρονοῦντας καὶ διὰ τοῦτο τῶν πέλας κατεπαιρομένους, οἳ μετὰ αὐταρκείας βιοῦντες κἀντεῦθεν τῶν μεγάλων ἐκφεύγουσι κινδύνων.]

65 Λίβυσσα γέρανος ἠδὲ ταὼς εὐπήληξ 1a
χλωρὴν ἀεὶ 'βόσκοντο λείμακος ποίην. 1b

* * *

---

64, 1e = 31, 1. 108, 3 | 6me = 59, 3 etc. | 7im cf. 55, 6 | 11i = 10, 13

---

64 B 48, v. prol. p. XIX, Nevel. 183, Avian. 19; myth. p. 216. 220 || 5 *στέγη τε μελάθρων* A, em. Bgk | *τε* del.? Eb || 8 sq. *εἰ μνησθῇς τῶν πελέκεων καὶ τῶν πριόνων τῶν σε κοπτόντων, β. γ. κ. σ. μ. θελήσεις* B, sim. Nev.; *sed cum pulchra minax succidet membra securis, quam velles spinas tunc habuisse meas* Av. || [8] Rth alii, cf. Av.; *τῶν πριόνων τε* Fx, *καὶ τῶν σκεπάρνων* Eb || [9] Lm; *καὶ etiam*, cf. 95, 62 || [11. 12] Eb, om. BAv. || 12 *καὶ ὑπέμεινε* A || Epim. post *μῦθος* rasura sex litterarum (del. *δηλοῖ*? Eb) | *μεγάλα φρ.* voluit m. rec. | *κατεπαιρομένων* A m. pr., *-ους* m. rec. | *ὧν* m. pr., *οἳ* m. rec. A | *μετα ἐνταρκίας* A m. pr., *εὐ* in *αὐ* corr. m. rec. | *βιούντων* m. pr. A, corr. m. rec. | *κἀντεῦθεν* A m. pr., *κά* in *ἐ* corr. m. r. | *ἐκφεύγωσι* A || Alia epim. in B Nev.

65 B 47, Av. 15 || Exordium *ἤριζε κτλ.* in Athoo decurtatum, cf. v. 3. Poetae manum (1a 1b) servavit Suidas s. *γέρανος τὸ ὄρνεον ἐπίκοινον τῷ γένει. Βάβριος κτλ.*; ultima verba

|Ἤριζε τεφρῇ γέρανος εὐφυεῖ ταῷ
σείοντι χρυσᾶς πτέρυγας. | „ἀλλ' ἐγὼ ταύταις“
f. 22b ἡ γέρανος εἶπεν, „ὧν σὺ τὴν χρόην σκώπτεις,
ἄστρων σύνεγγυς ἵπταμαί τε καὶ κράζω·
σὺ δ' ὡς ἀλέκτωρ ταῖσδε ταῖς καταχρύσοις
χαμαὶ πτερύσσῃ“ φησίν „οὐδ' ἄνω φαίνῃ.“
[θαυμαστὸς εἶναι σὺν τρίβωνι βουλοίμην
ἢ ζῆν ἀδόξως πλουσίᾳ σὺν ἐσθῆτι.]

66 Θεῶν Προμηθεὺς ἦν τις, ἀλλὰ τῶν πρώτων.
τοῦτον πλάσασθαί φασι δεσπότην ζῴων
ἄνθρωπον ἐκ γῆς· ἐκ δὲ τοῦ δύω πήρας
κρεμάσαι φέροντά φασι τῶν ἐν ἀνθρώποις
κακῶν γεμούσας, τὴν πρόσω μὲν ὀθνείων,
ἰδίων δὲ ⟨τὴν⟩ ὄπισθεν, ἥτις ἦν μείζων.

---

65, 6 cf. 58, 6 ‖ 66, 1 e = 134, 9 | 2 e sq. = 59, 4 | 4 e = 60, 5. 87, 6

---

repetiit s. v. ταὼς· εὐπήληξ ‖ p. 58, 1a ἠδὲ (ἡ δὲ), ταὼς εὐ. (‒ ⏑ ⏑ ‒ anacl. = ‒ ⏑ ‒ ⏑?) Suid.; καὶ τ. ⟨τις⟩ Eb; ἰδὲ τ. ⟨τις⟩? Cr, τᾶος Bgk ‖ 1b βόσκοντο, -οιτο, -οντος S | χείματος S, corr. Lewis, cf. Avian., Suid. s. λεῖμαξ ‖ Post 1b pavonis iactatio describebatur, in fine Aviani versione collata fuisse suspiceris αὐτὸς δὲ χρ. πτ. vel χρυσᾶς τ' ἔσειε πτ.

65, 1 τεφρη A m. pr., τέ- m. rec. | ταὼ A m. pr., ῷ m. rec. ‖ 4 κλάζω Schm, τε κἀκρίζω Gb (cf. Eust. p. 1636, 48), cf. Arist. av. 710 ‖ [7. 8] Eb, = prom. B; omisit Avianus ‖ Post v. 8 duorum versuum spat. vacuum, in marg. ἀρχὴ τοῦ θ͠ m. recc.

f. 22b 23a nescio quid in marginibus m. rec. (3 teste Eb)

66 B 50, myth. p. 220; Themist. XXI p. 262 B; Tzetz. chil. IX 443. Cf. Philem. fr. 89 K.: v. Bentley apud Fur. p. CXLI 1 πρώτων = προτέρων; locus ineptis coniecturis vexatus, cf. Hesiod. theog. 424. 486, Cr p. 234, 2 ‖ 2 ζώων A | πλάσανθ' ἅπασι δ. ζῴοις MkEb sine iusta causa ‖ 3 ἐκδὲ τοῦ A, ἐκδέτους Mk, sed cf. Aesch. Eum. 693 ἐν δὲ τῷ sim. (Rth) ‖ 4 φέροντα] τένοντος Lm | φασι] πᾶσι (cf. pr. II 4) Gb, sed cf. 64, 3. 4. 65, 3. 6 Ar. Vesp. 1024. 1027. Equit. 1095. 1300. 1303. Antiph. fr. 175 K, an πᾶσι τοῖς — κακοῖς κτλ.? ‖ 6 ἰδίων (ί ex εί) δ' A, suppl. Fx | πολὺ μείζων A, em. Fx Lewis

*διό μοι δοκοῦσι συμφορὰς μὲν ἀλλήλων*
*βλέπειν ἀκριβῶς, ἀγνοεῖν δὲ τὰς οἴκοι.*

67 *Θήρης ὄναγρος καὶ λέων ἐκοινώνουν,*
*ἀλκῇ μὲν ὁ λέων, ὁ δ' ὄνος ἐν ποσὶν κρείσσων.*
*ἐπεὶ δὲ λείαν ἔσχον ἄφθονον ζῴων,*
*ὁ λέων μερίζει καὶ τίθησι τρεῖς μοίρας,*
f. 23a *καί „τὴν μὲν αὐτός“ φησί „λήψομαι πρώτην·*
*βασιλεὺς γάρ εἰμι· λήψομαι δὲ κἀκείνην*
*ὡς ἐξ ἴσου κοινωνός. ἡ τρίτη δ' αὕτη*
*κακόν τι δώσει μὴ θέλοντί σοι φεύγειν.“*
[*μέτρει σεαυτόν· πρᾶγμα μηδὲν ἀνθρώπῳ*
*δυνατωτέρῳ σύναπτε μηδὲ κοινώνει.*]

68 *Θεοῖς Ἀπόλλων ἔλεγε μακρὰ τοξεύων·*
*„οὐκ ἂν βάλοι τις πλεῖον, οὐδὲ τοξεύσει.“*
*ὁ Ζεὺς δὲ παίζων ἠρίδαινε τῷ Φοίβῳ·*
*Ἑρμῆς δ' ἔσειεν Ἄρεος ἐν κυνῇ κλήρους.*
*λαχὼν δ' ὁ Φοῖβος χρυσέην τε κυκλώσας*

---

**67,** 2me cf. 62, 4 | 4e cf. 106, 12 | 5 cf. 69, 9

---

**66,** 7. 8 = prom. B; [7. 8]? Eb; sed legit iam imitator vetus infra p. 220 atque Themistius l. c. ‖ Post v. 8 duorum versuum spatium vacuum

**67** B 52 M 34 P[1] 32; tetr. I 41; myth. p. 216; cf. El Av. p. XXX ‖ 2 *ἐν* A, *ἦν* Bgk, *ὢν* Nck, cf. Soph. Ai. 488 ‖ 3 *λίαν* A, corr. m. r.; *λείην* Eb | *ἔσχον* A (Rth Eb) | *ζώων* A ‖ 5 *πρῶτος* perperam AB; *πρώτην* cum tetrastichista Eb; idem legit imitator vetus Suid. s. *λάχος* infra p. 216 ‖ [9. 10] Eb, = prom. B

**68** V 64 p. 673 Kn. = Fur. 351; tetr. I 46. Cf. Himer. or. XX ‖ 1 *τοξεύων* V, *τοξευέϊν* A ‖ 2 *βάλλῃ* V, *βαλεῖ*? cf. Herond.[2] VI 36 p. 49 | *τοξεύσαι* Hl, qua optativi forma B. abstinuit (Eb) ‖ 4 sqq. cf. Il. Δ 110 sqq. ‖ 5 *λ. δὲ φ. τὸ τόξον ἐκκυκλώσας* V, om. 6; unde *τόξ' ἔρυσσε κυκλώσας* om. 6 Rth ‖ 5 *χρυσέον* Bgk ‖ 5 sq. rectius *χρυσέῃ . . . νευρῇ τὸ τόξον* (Sd), cf. Meleag. Anth. Pal. XII 82, 3

τόξοιο νευρήν, ὀξέως ἀφεὶς πρῶτος
τὸ βέλος ἔπηξεν ἐντὸς Ἑσπέρου κήπων.
ὁ Ζεὺς δὲ διαβὰς ταὐτὸ μέτρον εἱστήκει,
καί „ποῦ βάλω, παῖ,“ φησίν „οὐκ ἔχω χώρην.“
τόξον δὲ νίκην ἔλαβε μηδὲ τοξεύσας.

[Ὅτι ἔστι τινὰ καὶ κόπου χωρὶς νίκην ἄρασθαι, σοφῶς τοῖς πράγμασι κεχρημένον.]

**69** Θάμνου λαγωὸν δασυπόδην ἀναστήσας
κύων ἐδίωκεν οὐκ ἄπειρος ἀγρεύειν,
δρόμῳ δ' ἐλείφθη. καί τις αἰπόλος σκώπτων
„ὁ πηλίκος σου“ φησίν „εὑρέθη θάσσων.“
f. 23b ὃ δ' εἶπεν „ἄλλως ἄλλον ἁρπάσαι σπεύδων
τρέχει τις, ἄλλως δ' αὐτὸν ἐκ κακοῦ σῴζων.“

**70** Θεῶν γαμούντων, ὡς ἕκαστος ἐζεύχθη,
ἐφ' ἅπασι Πόλεμος ἐσχάτῳ παρῆν κλήρῳ.

---

**69,** 1 e sq. = 87, 1 | 3 e = 105, 5 | 9 cf. 67, 5

---

**68,** 6 *πρῶτος* = *πρότερος*, cf. 18, 4. 66, 1 ‖ 7 *κήπου* V; de Hespero cf. Diod. IV 27, Serv. A. II 801; Dilthey, Call. Cyd. p. 68, Bgk Op. II 715 ‖ 8 *τοῦτο* A, *ταὐτὸ* V | *εἱστήκει* A, *ἔστι* (= *ἔστη*) V ‖ 9 *παῖ* A, *ναί* V | *ποῖ β.*? Eb | *παῖ*; Rth | *χώραν* A ‖ 10 *μὴ* V; *οὐδὲ* Nb

**69,** 5. 6 Schol. Thuc. IV 92, 2. Cf. Aristoph. Ran. 192; Phot. Hes. s. *λαγώς*; Zenob. person. 385 p. 108 Gott. ‖ 1 *δασύποun* A, corr. Ah; *δασύπον* vel *δασύπο δ'* (contra legem) ⟨ἐξ⟩*αναστ.* Bgk, alii ‖ 2 *κ.* ⟨*ποτ'*⟩ *ἐδίωκ'* Hoch, ⟨*ἐπ*⟩*εδίωκ'*? Eb, ⟨*τις*⟩ *ἐ.* Rth, *ἐπέσπεν* Eb, *ἐδίζητ'* Lm; num *ι* per synizesin pronuntianda? cf. 133, 1; Herond.² p. XX ‖ 5 sq. schol. Thuc. *ἄ. ἄ. ἀγρεῦσαι τρ. τ., ἄλλος δ' ἄλλον ἐκ κ. σ.* ‖ 6 *ἄλλως δ' ἄλλον* (o ex ω) etiam A, corr. Bkk Bt Fx ‖ 2 versus vacui

**70** B 51. Ex Theopompo fr. 139, FHG. I p. 302: Theo prog. 2, cf. Philol. LIV 745, prol. p. XXXII ‖ 2 *παρῆν ἐφ' ἅ. πόλεμος ἑκάστωι κλήρῳ* A, *πόλεμος παρῆν ἐσχάτῳ κλ.* B, transp. Hm Lm

Ὕβριν δὲ γήμας, ἣν μόνην κατειλήφει,
ταύτης περισσῶς, ὡς λέγουσιν, ἠράσθη,
ἕπεται δ' ἐπ' αὐτῇ πανταχοῦ βαδιζούσῃ.
μή γοῦν ἔθνη που, μὴ πόληας ἀνθρώπων
ὕβρις ⟨γ'⟩ ἐπέλθοι, προσγελῶσα τοῖς δήμοις,
ἐπεὶ μετ' αὐτὴν πόλεμος εὐθέως ἥξει.

71 Ἰδὼν γεωργὸς νῆα ναυτίλων πλήρη
βάπτουσαν ἤδη κῦμα κυρτὸν ἐκ πρῴρης
„ὦ πέλαγος" εἶπεν, „εἴθε μήποτ' ἐπλεύσθης,
ἀνηλεὲς στοιχεῖον ἐχθρὸν ἀνθρώποις."
ἤκουσε δ' ἡ θάλασσα, καὶ γυναικείην
λαβοῦσα φωνὴν εἶπε „μή με βλασφήμει·
ἐγὼ γὰρ ὑμῖν οὐδὲν αἰτίη τούτων,
ἄνεμοι δὲ πάντως, ὧν ἐγὼ μέσῃ κεῖμαι.

---

**70,** 3e = 58, 7 ‖ **71,** 5e = 32, 3. 136, 15

---

**70,** 3 *ἦν ἄρησ* A, *ά* ex *μ*? et *σ* ex *ν* vel *ι* corr. et atramento obduxit m. r.; in fine *ἄρης* repetitum, del. m. rec.; *Ὕ. δὲ μόνην κατέλαβεν· ταύτης π. ἐρασθεὶς ἔγημεν* B, unde corr. Fx Hertzberg; *οὐ γὰρ εἷς* Eb, *ἣν ἄρ' ὕστατ' εἰλήφει* Nck; possis *ἣν τίς ἂν* coll. 32, 4, nam *ἄρης* ft. *πόλεμος* vocis glossema ‖ 5 *δὲ ταύτῃ* A, *δὲ αὐτῇ* B; corr. Bgk, *δ' ἔτ' αὐ.* Lm; *ἐπ' αὐτῆς — βαδιζούσης*? ‖ [6—8] Eb, prom. B ‖ 6 *πόλ(εισ)ας ἀνθρώπων* (*εισ* supra scr.), *πόληας* A teste Eb m. pr., *η* in *τ* mutavit, *εισ* syllabam et acc. addidit m. recc. (Minae); traditum quod coniecit Nck *πόληας*: itaque argumentum quo usi versus a Babrio abiudicemus (de Babr. p. 137[5]) gravissimum concidit ‖ 7 *γ'* add. Hm, *προσέλθοι* ex B (*προέλθοι*) Bgk; anaclasis vix locus ‖ Fabulam fortasse decurtatam versibus 3. 4 contractis magis etiam corrupit Rth (prol. p. LXVII) ‖ In mg. m. 2 *ἀρχὴ τοῦ ι*

**71** B 54, P[1] 34 V Fur. 348 ‖ 2 *πρώτης* A corr. Db ‖ 5 *γυναικείην* ipse A ‖ 5 sq. *γυναικείαν μορφὴν ἀναλαβομένη* B; *μορφὴν* ci. Eb Nck (*Mél.* IV 662) Schm, sed cf. Eur. Iph. T. 52 ‖ 8 *πάντες* A, corr. Db Bgk; *οἱ ἐκταράσσοντές με ἄ.* B*, unde *ἄ. δ' ἐλῶντες* Gb, *ἄνεμοι δ' ἀέντες* Cr coll. *E* 526

f. 24a τούτων δὲ χωρὶς ἣν ἴδῃς με καὶ πλεύσῃς,
ἐρεῖς με τῆς σῆς ἠπιωτέρην γαίης."

[ὅτι πολλὰ φύσει χρηστὰ πράγμαθ' αἵ κακαὶ χρήσεις τρέπουσιν εἰς τὸ χεῖρον, ὡς δοκεῖν φαῦλα.

Ὁ μῦθος οὗτος ἐλέγχει ἐκείνους οἵτινες διαβολαῖς πρὸς τοὺς δυνάστας βλάπτειν πέφυκαν τοὺς πέλας, οἳ παραπλήσιοί εἰσιν ἀνέμοις χειμερίοις.]

72 Ἶρίς ποτ' οὐρανοῖο πορφυρῇ κῆρυξ
πτηνοῖσι κάλλους εἶπεν ἐν θεῶν οἴκοις
ἀγῶνα κεῖσθαι· πᾶσι δ' εὐθὺς ἠκούσθη,
καὶ πάντα θείων ἔσχεν ἵμερος δώρων.
ἔσταζε πέτρης αἰγὶ δυσβάτου κρήνη,
θερινόν ⟨τί⟩ θ' ὕδωρ καὶ διαυγὲς εἱστήκει·
πάντων τ' ἐπ' αὐτὸ φῦλον ἦλθεν ὀρνίθων,
πρόσωπα δ' αὐτῶν ἐξέλουε καὶ κνήμας,
ἔσειε ταρσούς, ἐκτένιζε τὰς χαίτας.

---

**72**, 2e = 58, 5 | 3e = 76, 11 | 7 cf. 117, 6

---

**71**, 9 ἂν A | μ' ἰδὼν ἐπιπλεύσῃς ne corrigas ‖ [11. 12] Bss Lm ‖ 11 πολλαφύσει A m. pr., acc. add. φύσει del. m. rec. | χρήσεις Lm, φύσεις A; versum barbarum non correxi | ὅτι καὶ γαληνοὺς καὶ πραεῖς δεσπότας οἱ χαιρέκακοι παραφυσῶντες πρὸς ζάλην καὶ ὀργὴν διεγείρουσιν B promyth., unde κακαὶ φῦσαι Gb ‖ Epim. πέφυκαν A m. pr., -ύκασι corr. m. recc. (Min.)

**72** B 59 F 78; tetr. I 29, cf. Tzetz. ch. VIII 500. 514, Them. XXIV p. 306e, Greg. Naz. c. 29, 55. III p. 888, Theophyl. ep. 34 p. 773 H., Eust. op. p. 331, 10; vetustissima testimonia Philod. rhet. II p. 68 S. et Diogenis κολοιός (Diog. La. VI 80), cf. 180 ‖ 1 Ἶρις ποτ' A | οὐρανίου A, corr. Db Lm | cf. *P* 547 ‖ 4 θεῖον A, corr. Db | ἵμερον ζωιων A, corr. Db, cf. 25, 1. 36, 6. 52, 3 ‖ 5 κρήνης A, corr. Bss ‖ 6 θερινόν τε A m. pr., suppl. Cr. (prol. p. VI²) καὶ θερινὸν m. r., καἰθέριον Eb (= διαυγές?); ὕδωρ θερινὸν (cf. Suid. θερινός) = ἀέναον, χειμαρρόῳ oppositum | mire ἐπισυνηγμένων δὲ πάντων ὀρνέων εἰς τὴν τῆς Στυγὸς κρήνην B, cf. Bgk op. II 718 ‖ 7 τ' del. Mk ‖ 8 αὐτῶν, corr. Bss | ἐξέλου τε καὶ? Eb, -το Nb, sed cf. Luc. Nec. 7 ‖ 9 ἔσαιρε Nb

ἦλθεν δ' ἐκείνην καὶ κολοιὸς εἰς κρήνην
γέρων, κορώνης υἱός, ἄλλο δ' ἐξ ἄλλου
πτερὸν καθύγρων ἐντὸς ἁρμόσας ὤμων
μόνος τὰ πάντων ποικίλως ἐκοσμήθη,
καὶ πρὸς θεοὺς ἤιξεν αἰετοῦ κρείσσων.
ὁ Ζεὺς δ' ἐθάμβει, καὶ παρεῖχε τὴν νίκην,
f. 24b εἰ μὴ χελιδὼν αὐτὸν ὡς Ἀθηναίη
ἤλεγξεν ἑλκύσασα τὸ πτερὸν πρώτη.
ὃ δ' εἶπεν αὐτῇ· „μή με συκοφαντήσῃς."
τὸν δ' ἄρα τρυγὼν ἐσπάραττε καὶ κίχλη
καὶ κίσσα καὶ κορυδαλλὸς οὑν τάφοις παίζων,
χὠ νηπίων ἔφεδρος ὀρνέων ἴρηξ,
τά τ' ἄλλ' ὁμοίως. καὶ κολοιὸς ἐγνώσθη.
[ὦ παῖ, σεαυτὸν κόσμον οἰκεῖον κόσμει·
τοῖσιν ἑτέρων γὰρ ἐμπρέπων στερηθήσῃ.

Ὅτι οἱ νόθον καὶ ἐπίπλαστον αὐτοῖς περιθέντες κόσμον ἀλλοτρίῳ τε κάλλει σεμνυνόμενοι, εἴ ποτε τοῦ τοιούτου γυμνωθεῖεν γέλως λοιπὸν τοῖς πρὶν ἀγνοοῦσιν ὁρῶνται.]

72, 11me = 57, 3 | 15 cf. 56, 6 | 18 cf. 3, 8 | 20e = 125, :

72, 10 *ἦλθεν* ipse A ‖ 11 *υἱὸς·* A ‖ 12 *καθ' ὑγρων* A corr. Mk ‖ 14 *κρείσσων* etiam B, *κρεῖσσον* Lm, *θάσσων* Nck 15 *κἂν* Bgk ‖ 16 *Ἀθηναία* AB, non intellexit Rth p. 70, cf. 12, 22 148 ‖ [17—21] Rth, cf. tetr. | 17 *τῶν πτερῶν* Hecker ‖ 19 *ἄρα* A corr. m. r. | *ἐσπάρασσε?* | *κίχλα* A, corr. Hm, cf. Mk anal. ac Ath. p. 352 Herodian. II p. 752 L ‖ 20 *κορύδαλλος* A, *-λλὸς* m. rec. *-αλὸς* Minas; anapaestus proprii nominis excusationem habet | cf Theocr. VII 23 cum schol. Alex. Trall. X p. 296 St. | *ὁ ἐν* m. pr. *οὑν* m. rec. | *παίζων* A, *σπίζων* Bgk coll. Arat. 1024, *τρίζων* Sd cf. 108, 23; *ἐπιτυμβίδιαι κορυδαλλίδες ἠλαίνοντι* (= *παίζουσι*; cf. 125, 1) Theocr., *ὅτι τοῖς τάφοις ἐνδιατρίβουσιν* schol. Theocr. | 21 *καὶ ὁ* A | *νηπίων ἔφηβος* (sine *δ'*) A, corr. Bss; *εὔθηρος* Spp; coll. Hes. *φῆλον* ingeniose *δὲ φηλὸς* Schw ad accipitrem venantem referendum qui *decipit . . aves* (Mart. XIV 216), cf *ἱερακοσ*. Ael. II p. 359 H. ‖ 22 *τατ' ἄλλα* A m. pr., corr m. r. ‖ [23. 24] Lm | 24 *τοῖς ἑτέρων* A m. pr., del. lineola tra ducta superscr. *ξένοις* m. recc. (Min.), corr. Nck | *τούτων* (β superscr.) *στερη* (α superscr.)

73 Ἴκτινος ἄλλην ὀξέην εἶχε κλαγγήν·
ἵππου δ' ἀκούσας χρεμετίσαντος εὐφώνως,
μιμούμενος τὸν ἵππον * * *
οὔτε τὴν κρείττω
φωνὴν θελήσας ἔσχεν οὔτε τὴν πρώτην.
[Ὅτι οἱ τῶν ἀδυνάτων ἐρῶντες ἔσθ' ὅτε καὶ τῶν μετὰ χεῖρας ἀστοχοῦσι.]

74 Ἵππος τε καὶ βοῦς καὶ κύων ὑπὸ ψύχους
κάμνοντες ἦλθον οἰκίην ἐς ἀνθρώπου.
κἀκεῖνος αὐτοῖς τὰς θύρας ἀναπλώσας
f. 25a παρῆγεν ἔνδον, καὶ παρ' ἑστίῃ θάλψας
πυρὸς γεμούσῃ παρετίθει τι τῶν ὄντων,
κριθὰς μὲν ἵππῳ, λάθυρα δ' ἐργάτῃ ταύρῳ·
ὁ κύων γὰρ αὐτῷ συντράπεζος εἱστήκει.

---

73, 2e = 116, 1; im 131, 7 ‖ 74, 2e cf. 12, 11 | 3e = 54, 2. 95, 2 | 5e cf. 57, 4 | 6i = 83, 1

---

θήσῃ A, β α superscr. m. recc.; τούτων del. HmNck ‖ p. 64 Epim. ἐπίπλαστον cognovit Eb, ἐπείσακτον volgo | ἀγνοῶσιν A m. pr., ω in ου m. rec.

73 B 55, Aphthon. 3 (F 201), Iul. Misopog. p. 366 A λέγεται .. τὸν ἰκτῖνον φωνὴν ἔχοντα παραπλησίαν τοῖς ἄλλοις ὄρνισιν κτλ. Babrium sequitur, cf. ad 32, 1 ‖ 1 ἰ. ἀρχὴν BtHp | ἔχει (= ἔχεε) Db, εἶχεν ὀ. Fx | κλάγγα Schnw, γῆρυν Ahr; sed in initio decurtato (cf. Iulian Aphth.) nihil corrigendum; B cum A facit: ἰ. φωνὴν εἶχεν ἄλλην ὀξεῖαν κτλ. ‖ 2 legit Aphth. ‖ 3 οὔτε, τ m. rec. in ras. A | κρείσσω Bss ‖ 5 πρῴην Nck, cf. 67, 5. 66, 1 | μιμούμενος τὸν ἵ. καὶ συνεχῶς τοῦτο ποιῶν καὶ ταύτην μὴ καλῶς ἐκμαθὼν καὶ τῆς ἰδίας φωνῆς ἐστέρηται· καὶ οὔτε τὴν τοῦ ἵ. ἔσχεν οὔτε τὴν πρώτην B, εἶτα τοῦ μὲν ἐπιλαθόμενον, τὸ δὲ οὐ δυνηθέντα ἑλεῖν ἱκανῶς ἀμφοῖν στερέσθαι καὶ φαυλοτέραν τῶν ἄλλων ὀρνίθων εἶναι τὴν φωνήν Iulian., sim. Aphthon. Niceph. Chumn. post Creuzeri Plotinum p. 1441, qui Iovem in fabulam induxit, contulit Cr ann. 247

74 B 58 $P^1$ 35; $A^u$ 104, cf. Cr p. 211 ‖ 4 εἴσω ne corrigas, cf. ind. ‖ 6 ἄχυρα B ‖ 7 δ' ἄρ' Eb, παρ' Gb; γὰρ aptissimum

*ξενίης δ' ἀμοιβὴν ἀντέδωκαν ἀνθρώπῳ*
*μερίσαντες αὐτῷ τῶν ἐτῶν ἀφ' ὧν ἔζων,*
*ὁ μὲν ἵππος εὐθύς· διόπερ ἐν χρόνοις πρώτοις*
*ἕκαστος ἡμῶν γαῦρός ἐστι τὴν γνώμην·*
*ὁ δὲ βοῦς μετ' αὐτόν· διόπερ εἰς μέσους ἥκων*
*μοχθεῖ φίλεργός ἐστιν ὄλβον ἀθροίζων.*
*ὁ κύων δ' ἔδωκε, φασί, τοὺς τελευταίους·*
*διὸ δυσκολαίνει, Βράγχε, πᾶς ὁ γηράσας,*
*καὶ τὸν διδόντα τὴν τροφὴν μόνον σαίνει,*
*ἀεὶ δ' ὑλακτεῖ, καὶ ξένοισιν οὐ χαίρει.*

[*Διαβολὴν ὁ μῦθος ἔχει ἀνδρῶν ἐκείνων τῶν μηδεμίαν τοῖς ξένοις πρόνοιαν ποιουμένων, εἰς μόνον δὲ τοὺς οἰκείους τὴν στοργὴν περιιστώντων, ἀπὸ τῆς τοῦ κυνὸς ὑποδείξεως.*]

**75** *Ἰατρὸς ἦν ἄτεχνος. οὗτος ἀρρώστῳ*
*πάντων λεγόντων „μὴ δέδιχθι, σωθήσῃ·*
*πάθος μέν ἐστι χρόνιον, ἀλλ' ἔσῃ ῥάων,“*
f. 25b [*ὁ δ' ἀτεχνὴς ἰατρὸς εἶπεν εἰσβαίνων·*]

---

**74**, 12e = 135, 11 ‖ **75**, 1e = 95, 74. 103, 7

---

**114** V 114 (Kn. p. 675); B 90 P[1] 58 ‖ 2 *Ἑωσφ.?* ‖ 3 *λάμπειν ἅπασιν ἐκπρ. φέγγος* AV, transp. Eb; *ἅπας* in versus initio ponere amat Babr. | *ὡς ὑπὲρ ἥλιον .. λάμπει* B; *λάμπει* Eb, cf. 14, 1. 43, 5 ‖ 4 *ἀνέμου δὲ πνοῆς συρρεύσαντος* BP[1] ‖ 5 *πνοῇ* A, *πνοιῇ* V(Fx) | *ῥαπισθεὶς* A m. pr., corr. m. r.; *ῥιπισθεὶς* in mg. non legitur ‖ 6 *αὐτῶ* A | *φαῖνε, λύχνε, καὶ σίγα* VB* *βαιὸν* (*β* ex *μ*) *ἣν λύχνου* [ci. *λύχνε*] *πνεῦμα* A | *τῶν* B*V, *τῶν δ'* A ‖ 7 *οὔποτ' ἐκλείπει* VB* ‖ Epim. *Ὁ μῦθ* A | *ἐπισταμένους*, *-ους* ex *-οις* m. pr. A | Aliud epimythium in BP[1] *Ὅτι οὐ δεῖ τινα ἐν ταῖς δόξαις καὶ τοῖς λαμπροῖς* (*τ. λ. καὶ τῇ δόξῃ* P[1]) *τοῦ βίου τυφοῦσθαι κτλ.* | *ἀρχὴ τοῦ ν* m. 2 in mg.

**115** Avian. 2, myth. p. 218, tetr. I 40; cf. F 193 (A[u] 229) ‖ 1 *λιμνάσιν*, in marg. *λιμναίαις* A m. pr., quod del. m. r., cf. 24, 3 ‖ 4 *ἐντυχὼν* Eb Mk Herm. I 323, Thompson *Journ. of philol.* XII 24 | *ταῦτα* A, tentavi *κύρσας* (134, 19) vel *νώσας*, *σκώπτων* Eb p. XI ‖ 5 *χέλυνα* Schnw Phil. I 379, *χέλυννα* Mk, sed cf. Herodian. I p. 265, 31 sq. L.

ὅστις σ' ἐλαφρὴν καὶ μετάρσιον θήσω;"
„τὰ τῆς Ἐρυθρῆς πάντα δῶρά σοι δώσω."
„τοιγὰρ διδάξω" φησίν. ὑπτίην δ' ἄρας
ἔκρυψε νέφεσιν, ἔνθεν εἰς ὄρος ῥίψας
ἤραξεν αὐτῆς οὖλον ὄστρακον νώτων.
ἡ δ' εἶπεν ἐκψύχουσα „σὺν δίκῃ θνήσκω·
τί γὰρ νεφῶν μοι, καὶ τίς ἦν πτερῶν χρείη,
τῇ καὶ χαμᾶζε δυσκόλως προβαινούσῃ;"

**116** Νυκτὸς μεσούσης ᾖδε παῖς τις εὐφώνως.
γυνὴ δ' ἀκούει τοῦδε, κἀξαναστᾶσα
θυρίδων προκύπτει, καὶ βλέπουσα τὸν παῖδα
λαμπρῆς σελήνης ἐν φάει καλὸν λίην,
τὸν ἄνδρ' ἑαυτῆς καταλιποῦσα κοιμᾶσθαι
κάτω μελάθρων ἦλθε, καὶ θύρης ἔξω
ἐλθοῦσ' ἐποίει τὴν προθυμίην πλήρη.
ὡνὴρ δὲ ταύτης ἐξανίστατ' ἐξαίφνης
ζητῶν ὁπούστί, κοὐκ ἰδὼν δόμων εἴσω
μηδὲν χανών τε καὐτὸς ἦλθεν εἰς οἶμον.

---

**115**, 11 me cf. 122, 14 | 12 sq. cf. 132, 27. 131, 8 || **116**, 1 e = 73, 2 | 7 e cf. 46, 6 | 8 e = 18, 11. 111, 5. 124, 1

---

**115**, 8 τοὶ γὰρ A || 10 num αὐτοῖς — νώτοις vel αὐτοῖς οὖλον ὀστράκοις νῶτον? cf. Ael. nat. an. XVI 1. XIV 17 || 11 θνήισκω A || 12 τίς BtLm, cf. prol. p. III$^1$ | πτερῶν (πτ m. pr. ε corr.) χρεία A

**116** V 129 (Kn p. 677); Apul. met. IX 26, Mart. II 47. 49. 60; cf. Cr p. 216$^5$, Schm mus. Rh. XXVI 203 || 2 κἐξαναστᾶσα V || 4 λαμπρᾶς et λίαν A || 5 ἄνδρα αὐτῆς V | εὕδοντα ἐκλιποῦσα V || 7 ἔρχουσ' corr. non opus | τῆι προθυμιηι A, corr. Bss | πλήρη A, πᾶσαν V || 8 ὤνὴρ A, ἀνὴρ V, ἁ- Lm | δ' ἐγερθεὶς? || 9 ζητῶν ἐφευρεῖν V | δὲ ποῦ'? | ὁπούστί, ι ex η m. pr. A | δόμον ἴσω A || 10 μηδὲν χανὼν A, suprascr. m. rec. μελήσας (= μελλ.), cf. 110, 2, adn. 95, 63, Semon. 7, 110, μηδὲν χαννῶν V, cf. Spp p. 1576; ἀμηχανῶν Ah, μηδὲν χαλῶν Kn | τι Bgk Spp p. 1576 coll. 98, 3 | δισοιμαι A m. pr., εἰς οἶμον corr. m. rec.; εἰς οἶκον V

*μεθ' ἧς τὰ πολλὰ μειλίχως συνεζήκει.*
*γέρων δέ τις πίθηκος ἦν ὁ δαιτρεύων*
*κρεῶν τε συσσίτοισι διανέμων μοίρας·*
*ὅς, εἴ τις ἦλθεν οὐχὶ τῆς συνηθείης,*
*ταὐτὸν παρετίθει δεσπότῃ τε κἀκείνῳ,*
f. 37ª *ὅπερ εἶχεν ὁ λέων νεοδρόμῳ λαβὼν θήρῃ·*
*κερδὼ δ' ἑώλων ἔφερεν οὐκ ἴσην μοῖραν.*
*καὶ δή ποτ' αὐτὴν προσποιητὰ σιγῶσαν*
*δείπνου τε χεῖρα καὶ βορῆς ἀποσχοῦσαν*
*λέων τίν' εἶχεν αἰτίην διηρώτα·*
*„κερδοῖ σοφή, λάλησον ὥσπερ εἰώθης·*
*φαιδρῷ προσώπῳ δαιτός, ὦ φίλη, ψαῦσον."*
*ἡ δ' εἶπεν „ὦ φέριστε θηρίων γέννης,*
*πολλῇ μερίμνῃ καρδίην διαξαίνω·*
*οὐ γὰρ τὰ νῦν παρόντα μοῦνον ἀλγύνει,*
*τὰ δ' ἔπειτα" φησί „προσκοπουμένη κλαίω.*
*καθ' ἡμέρην γὰρ εἴ τις ἄλλος, εἶτ' ἄλλος*
*ξένος πελάζοι, τοῦτο δ' εἰς ἔθος βαίνοι,*
*τάχ' οὐδ' ἑώλων γεύσομαι κρεῶν μούνη."*

---

**106,** 15m = 95, 85 | 16 28 cf. 86, 3 | 17m = 103, 5 | 20 = 16, 9. 132, 9 | 23 cf. 12, 24

---

**106,** 10 *συνεζήτει* A, corr. Fx all., cf. Cr p. 179 ‖ 1? A, *τε* DbFx | *συσσίτοισιδιαινέμων* A teste Eb ‖ 15 *εἶλεν* L 16 *κερδοῖ* Bgk | *μοίραν* A | *ἔφερε μ. οὐκ ἴ.* Eb; num comn ante *οὐκ* interpungendum? cf. Luc. Cronos. 17 p. 399 ‖ vv. 1? sedem mutavit Bgk Bt; 17—19 *αὐτῆς — σιγώσης — ἀποσχο*ι Hertzberg, fortasse recte ‖ 19 *χεῖραν* A ‖ 20 *σοφῆι* m. pr. m. rec. A | *εἰώθης* A, *η* in *ει* m. r., cf. 16, 9 ‖ 21 *ψα* (-*σας*) Hl ‖ 26 *ἡμέραν* A ‖ 27 *βαῖνον* A, corr. Lm Db (*in* ‹ *suetudinem abeat*) ‖ 28 *μούνη·* A, *ἤδη* Bgk, *τλήμων* Eb, ipso hoc verbo nescio an fabulae acumen contineatur (c cum *μούνη* coni.? cf. Herond. I 78)

*ὁ λέων δὲ τερφθεὶς ὡς λέων τε μειδήσας*
*εἶπεν „πιθήκῳ ταῦτα μηδ' ἐμοὶ μέμφου.“*

[*Ὅτι μᾶλλον ἀλγύνειν καὶ λυπεῖν οἶδεν ἀνθρώπους οὐ τὰ παρόντα μόνον, καθ' ὅσον ἤδη ἡ τῶν μελλόντων προσδοκία.*]

107 *Λέων ἀγρεύσας μῦν ἔμελλε δειπνήσειν·*
*ὁ δ' οἰκότριψ κλὼψ ἐγγὺς ὢν μόρου τλήμων*
*τοιοῖσδε μύθοις ἱκέτευε τὸν θῆρα·*
f. 37[b] *„ἐλάφους πρέπει σοι καὶ κερασφόρους ταύρους*
*θηρῶντα νηδὺν σαρκὶ τῇδε πιαίνειν·*
*μυὸς δὲ δεῖπνον οὐδ' ἄκρων ἐπιψαῦσαι*
*χειλῶν ἅλις σῶν. ἀλλὰ λίσσομαι, φείδου.*
*ἴσως χάριν σοι τήνδε μικρὸς ὢν τίσω.“*
*γελάσας δ' ὁ θὴρ παρῆκε τὸν ἱκέτην ζώειν.*
*καὶ φιλαγρευταῖς ἐμπεσὼν νεηνίσκοις*
*ἐδικτυώθη καὶ σφαλεὶς ἐδεσμεύθη.*
[*κάντεῦθεν ἀπεγνώκει ὁ θὴρ τὴν σωτηρίαν*]

---

**106,** 29e = 94, 6 ‖ **107,** 1e cf. 124, 2 | 2me = 95, 15. 103, 16 | 6 sq. cf. 6, 10 sq. | 9e = 25, 1

---

**106,** 29 *ἱλέως τε* Spp, sed cf. 16, 6. 48, 5; *ὡς* = *ut* limit., cf. 15, 11 ‖ Epim. *ἄνουσ* A

**107** B 77 P[l] 48 M 47 (F 98 A[u] 148 P[r] 145); Tab. cer. 8; Dosith. 2 p. 26 (Rom. I 17); cf. Iulian. ep. 8 p. 377 D., Liban. ep. 47, 16 p. 24 W. (test. 3 sq.) ‖ 2 *οἰκοτρίψ* A ‖ 3 *τονθρύζων* in exitu Rth ‖ 5 *θηρῶν δὲ* A, corr. Fx, cf. 95, 32 | *τῇδε* A, *τῶνδε* Bgk ‖ 6 *ἄκρον* A, corr. Bss | *ἐπιψαύσει* Rth ‖ 7 *ἀμέστων* A m. pr., *στ* in *σσ* m. r., corr. Eb; *ἄμειβον* Rth, *θέμις σῶν* Schnw ‖ 8 *τῆνδε*, *ν* ex *σ*, ipse A m. pr. (Eb), *τῆσδε* vulgo ‖ 9 *ζῶντα* A, corr. Fx, cf. 108, 13. 11, 4. 57, 2. 135, 2 ‖ 10 in initio aut *φῖλ* (Hom. Δ 155) aut anaclasin admisit, cf. ad Herond. III 7; *φιλαγρέταισιν* Eb, *φηλαγρευταῖς* Lm, *θηραγρεύταις* Rth ‖ 11 *κάσφαλῶς* Ah, sed cf. Xen. Cyn. 6. 8, A. P. IX 264, 8; *κάλῳς* Eb ex F, qui addit *ἐπί τινι δένδρῳ*; non potest *σφαλοῖς* ‖ 12 *ὁ θὴρ* in senario novicio interpolatum, cf. 75, 4 | *τὴν σρῖαν* A m. pr., *τ̓ σ̃ρα* = *τὸν σωτῆρα* m. rec. ut versum restitueret | [12] Lm, legit B*

ὁ μῦς δὲ λάθρῃ χηραμοῦ προπηδήσας,
στερρόν τ' ὀδοῦσι βραχυτάτοις βρόχον κείρας
ἔλυσε τὸν λέοντα, τοῦ τὸ φῶς βλέψαι
ἐπάξιον δοὺς μισθὸν ἀντιζωγρήσας.
[σαφὴς ὁ μῦθος εὖ νοοῦσιν ἀνθρώποις,
σῴζειν πένητας, μηδέ των ἀπελπίζειν,
εἰ καὶ λέοντα μῦς ἔσωσ' ἀγρευθέντα.]

[Ἀρχὴ τοῦ $\overline{β}$ τμήματος.]

II Μῦθος μέν, ὦ παῖ βασιλέως Ἀλεξάνδρου,
Σύρων παλαιῶν ἐστιν εὕρεμ' ἀνθρώπων,
οἳ πρίν ποτ' ἦσαν ἐπὶ Νίνου τε καὶ Βήλου.
πρῶτος δέ, φασίν, εἶπε παισὶν Ἑλλήνων
Αἴσωπος ὁ σοφός, εἶπε καὶ Λιβυστίνοις
f. 38a λόγους Κυβίσσης. ἀλλ' ἐγὼ νέῃ μούσῃ
δίδωμι, φαλάρῳ χρυσέῳ χαλινώσας
τὸν μυθίαμβον ὥσπερ ἵππον ὁπλίτην.
ὑπ' ἐμοῦ δὲ πρώτου τῆς θύρης ἀνοιχθείσης
εἰσῆλθον ἄλλοι, καὶ σοφωτέρης μούσης

---

**II**, 6e = I 16 | 7e = 76, 14

---

**107**, 13 μῦσ̀ praeter ` m. r. in ras. | λάθρη A, de B* cf. prol. || 15 τοῦ το A, corr. AhLm || 17—19 = prom. B, epim. MP[1], del. Fx, cf. 43, 18 | ἐννοοῦσιν A (εὐνοοῦντες BP[1]M), corr. Bgk || 18 μηδὲ τῶν A, corr. Bgk, μηδέ πως FxSchw, μηδ' ὅτων Ah. Iulian. l. s. (ὁ μῦς τὸν λέοντα τῷ μισθῷ σώσας) legit v. 16, vix legit v. 17 sqq. || ἀρ̌ τοῦ $\overline{β}$ τμήματος A m. pr., β in μ mutavit, τμήματος linea circumducta delevit m. rec.; cf. Avian. test. 9
**II** cf. Hermog. Theon. prog.; Diogen. paroem. I p. 178. 180 || 2 παλαιῶν A, παλαιόν FxLm, vix recte || 4 φασὶν FxSchnw, πᾶσιν A || 5 λίβυς, τινὸς A, corr. Schnw, Λιβυστῖνος DbAh; 5e Κίβυσσός τις et 6 λ. Λιβύσσης Benfey 'Or. et Occ.' I 364 || 6 λόγου A, corr. Ah | λιβύσσης A, corr. Schnw; conl. Diogen. Κύβισσαν Κιβύσσης AhBgk || 7 φαλάρῳ Db, καθαρῶι A || 9 θύρας A || 10 σοφωτέρας A

*γρίφοις ὁμοίας ἐκφέρουσι ποιήσεις,*
*μαθόντες οὐδὲν πλεῖον ἢ ᾽μὲ γινώσκειν.*
*ἐγὼ δὲ λευκῇ μυθιάζομαι ῥήσει,*
*καὶ τῶν ἰάμβων τοὺς ὀδόντας οὐ θήγω,*
*ἀλλ᾽ εὖ πυρώσας, εὖ δὲ κέντρα πρηΰνας,*
*ἐκ δευτέρου σοι τήνδε βίβλον ἀείδω.*

108 *Μυῶν ὃ μέν τις βίον ἔχων ἀρουραῖον,*
*ὃ δ᾽ ἐν ταμείοις πλουσίοισι φωλεύων,*
*ἔθεντο κοινὸν τὸν βίον πρὸς ἀλλήλους.*
*ὁ δ᾽ οἰκόσιτος πρότερος ἦλθε δειπνήσων*
*ἐπὶ τῆς ἀρούρης ἄρτι χλωρὸν ἀνθούσης·*
*τρώγων δ᾽ ἀραιὰς καὶ διαβρόχους σίτου*
*ῥίζας μελαίνῃ συμπεφυρμένας βώλῳ*
*„μύρμηκος“ εἶπε „ζῇς βίον ταλαιπώρου,*
*ἐν πυθμέσιν γῆς κρίμνα λεπτὰ βιβρώσκων.*
*ἐμοὶ δ᾽ ὑπάρχει πολλὰ καὶ περισσεύει·*
*τὸ κέρας κατοικῶ πρὸς σὲ τῆς Ἀμαλθείης.*
f. 88b *εἴ μοι συνέλθοις, ὡς θέλεις ἀσωτεύσῃ,*
*παρεὶς ὀρύσσειν ἀσφάλαξι τὴν χώρην.“*

---

**108,** 1e cf. 33, 5 | 3e = 31, 1. 33, 23. 64, 1 | 10e = 1, 4

---

**II,** 11 *ἤ με γινώσκειν* A (= *ἢ ἐμὲ ἀναγινώσκειν*, ut fures argumentorum), cf. Lat. *cognoscere* librum; *ἢ γεγωνίσκειν* Burges *Rev. de ph.* I 460 (Nck), cf. Cr p. 195 adn. ‖ 13 *λουκὴ* A, corr. Bss ‖ 14 *οὐ* ipse A | *θήγων* Schnw

108 B 94 F 121; myth. p. 217; v. 17 sq. 24 sq. 31 sq. Suid. ‖ 1 *ἀρουρίτην*? Eb, possis *ἀρουραίων* (Rth, cf. 33, 5) ‖ 6 *σίτουσ* A, corr. m. rec., sed vetusta ‖ 7 *μελαίνης* A m. pr., corr. m. r., ut 6 | *βόλῳ*, *ο* in *ω* corr. m. recc., *ῥίζας σὺν τοῖς βώλοις* B ‖ 8 *ζῆς* A ‖ 9 *πυθμέσι* A m. pr., *ν* m. rec. | *κρῖμνα* Eb ‖ 11 *Ἀμαλθαίης* A, corr. m. rec.; cf. imitatorem p. 217 ‖ 12 *συνέλθῃς* (*οι* superscr.), *η* del., *οι* superscr. m. pr. A, *συνέλθῃς* Rth, *συνέλθοις* plerique ‖ 13 *ἀσφάλαγξι*, litt. *γ* interiecta m. pr. A, cf. Et. ‘M.’ p. 161, 5 (Herodian. II p. 169. 630 L.)

*ἀπῆγε τὸν μῦν τὸν γεηπόνον πείσας*
*εἰς οἶκον ἐλθεῖν ὑπό τε τοῖχον ἀνθρώπου.*
*ἔδειξε δ' αὐτῷ, ποῦ μὲν ἀλφίτων πλήθη,*
*ποῦ δ' ὀσπρίων ἦν σωρὸς ἢ πίθοι σύκων*
*στάμνοι τε μέλιτος σώρακοί τε φοινίκων.*
*ὃ δ' ὡς ἐτέρφθη πᾶσι καὶ παρωρμήθη*
*καὶ τυρὸν ἦγεν ἐκ κανισκίου σύρων,*
*ἀνέῳξε τὴν θύρην τις· ὃ δ' ἀποπηδήσας*
*στεινῆς ἔφευγε δειλὸς ἐς μυχὸν τρώγλης,*
*ἄσημα τρίζων τόν τε πρόξενον θλίβων.*
*μικρὸν δ' ἐπισχών, εἶτ' ἔσωθεν ἐκκύψας*
*ψαύειν ἔμελλεν ἰσχάδος Καμειραίης·*
*ἕτερος δ' ἐπῆλθεν ἄλλο τι προαιρήσων·*
*οἳ δ' ἔνδον ἐκρύβοντο. μῦς δ' ἀρουρίτης*
*„τοιαῦτα δειπνῶν" εἶπε „χαῖρε καὶ πλούτει,*
*καὶ τοῖς περισσοῖς αὐτὸς ἐντρύφα δείπνοις,*
*ἔχων τὰ πολλὰ ταῦτα μεστὰ κινδύνων.*
*ἐγὼ δὲ λιτῆς οὐκ ἀφέξομαι βώλου,*
*ὑφ' ἣν τὰ κρίμνα μὴ φοβούμενος τρώγω."*

f. 39a
[*Ταῦτα ῥητέον τῷ ἐν προσχήματι φιλίας κα|καῖς συμβουλίαις ἀπάγειν ἡμᾶς βουλομένῳ ζωῆς ἀταράχου καὶ κινδύνοις καθυποβάλλαι χάριν ῥεουσῶν ἡδονῶν.*]

---

**108,** 15me cf. 12, 11 | 20 cf. 140, 1 | 22me = 112, 2; cf. 31, 17. 118, 6 | 24i = 84, 2 | 24e = 96, 1

---

**108,** 16 *πλήρη* A, *πλήθη* *copiae* FxBtRth; *θήκη* Eb; *πήρη* (Lm) vix admitti potest, cf. A. P. VI 95, 2; lacuna (Mk Hermae I 323) non statuenda ‖ 17 sq. Suid. s. *σωράκους* | *πίθος* S ‖ 21 *ἀνέωξε* A, *ἤνοιξε* B | *θύραν* A ‖ 22 *εἰς* Rth ‖ 24 sq. Suid. s. *Καμειραία ἰσχάς* | *δ'* S, *τ'* A | *εὖτ'* S ‖ 25 *Καμειραίας* S ‖ 27 *ἀρουρείτης* A, *ἀρουραῖος* C, cf. Herodian. I 75 L. ‖ 27 sq. *ὁ δὲ ἀ. μῦς καίπερ τοσαῦτα πεινῶν εἶπε· „χ. κ. πλ.* B ‖ 28 *εἶπεν* A ‖ 29 *αὐτὸς* = *μόνος*; si offendit *δειπνῶν* — *δείπνοις*,

109 *„Μὴ λοξὰ βαίνειν" ἔλεγε καρκίνῳ μήτηρ,*
*„ὑγρῇ τε πέτρῃ πλάγια κῶλα μὴ σύρειν."*
*ὃ δ' εἶπε „μῆτερ ἡ διδάσκαλος, πρώτη*
*ὀρθὴν ἄπελθε, καὶ βλέπων σε ποιήσω."*

[*Ἀντίρρησιν ὁ μῦθος ἔχει πρὸς τοὺς ἐναντίας τοῖς ἔργοις διδασκαλίας ποιουμένους.*]

110 *Μέλλων ὁδεύειν τῆς κυνός τις ἑστώσης*
*εἶπεν „τί χάσκεις; πάνθ' ἕτοιμά σοι ποίει·*
*μετ' ἐμοῦ γὰρ ἥξεις." ἡ δὲ κέρκον οὐραίης*
*ἄρασά φησι „πάντ' ἔχω· σὺ βαρδύνεις."*

[*Πρὸς ἄνδρα ἀπαρασκεύαστον* [*πρὸς*] *τὸν ἐν ἑτοιμασίᾳ ὄντα* [*καὶ*] *περὶ συνοδοιπορίας κατεπείγοντα ὁ λόγος εὔκαιρος.*]

111 *Μικρέμπορός τις ὄνον ἔχων ἐβουλήθη,*
*τοὺς ἅλας ἀκούων παρὰ θάλασσαν εὐώνους,*

---

**109**, 2e = 14, 2 ‖ **110**, 2 cf. 75, 5

---

coll. 95, 28. 75, 8. Soph. Oed. R. 1327 possis *τοιαῦτα λοιπὸν* vel *ταῦτ' οὖν τὸ λοιπὸν* ‖ p. 100, 31 *λειτῆς* A ‖ 31 sq. Suid. s. *κρῖμνον* ‖ 32 *ἢ*? Cr | *κρῖμνα* Eb

**109** B 91 P[1] 59; Avian. 3; Aphth. 11; tetr. I 34; aliunde Eust. op. XIV p. 108 ‖ 1 sq. orationis directae signa sustulit Rth ‖ 3 *εἶπε* er. *ν* A ‖ 4 *ὀρθὰ βάδιζε καὶ βλ. σε ζηλώσω* B; *ἔπελθε* Fx, *πρό-* Hecker, *ἄγ' ἐλθέ* Schnw ‖ Epim. *ἐναντία* A, *c* m. recc. | fabulam decurtatam esse sine causa suspicatus est Rth

**110** Paraphr. invenitur in cod. Marc. 690, f. 81ᵛ, cf. Stud. Ital. I 192 ‖ 1 *κυνός*, *υ* ex *οι* m. rec. A ‖ 2 *πάντ'* A, *τ* ex *θ* m. pr. ‖ 3 *ἕξεις* Nck | *οὐραίησ* A (= *οὐρᾶς* = *ani* vel *ex ano*, cf. Eustath. Od. ξ 213 p. 1758, 58; Herodian. I p. 531, 9 L.); *οὐραίην* plerique, *οὐρείην* inepte Gb Rth, qui 'fabulam subobscenam [?] Babrio tribuere' dubitat ‖ 4 *σὺ δὲ βραδύνεις* A, corr. Ah alii; *δηθύνεις* Nck (Phil. IV 198), alii aliud ‖ Epim. [*πρ.*] [*κ.*] Bss

**111** B 92 P[1] 59, F 122 (A[u] 176 P[r] 179); tetr. I 57; fabulam 'Babrio plane indignam esse' putat Fx p. 55 (cf. Piccolos Rev. encycl. 1846 p. 253), sed de Thaleta haec narrantur, Ael. n. an. VII 42, Plut. soll. an. 16 p. 971 ‖ 1 *μικρὸς ἔμπορος* A, corr. ex BP[1]

*τούτους πρίασθαι, φορτίσας τε γενναίως*
*τὸν ὄνον κατῆγε. τῆς δ' ὁδοῦ προκοπτούσης*
*ὤλισθεν ἄκων εἴς τι ῥεῖθρον ἐξαίφνης,*
*καὶ συντακέντων τῶν ἁλῶν ἐλαφρύνθη,*
f. 39b *ῥᾴων δ' ἀνέστη καὶ παρῆν ἀμοχθήτως*
*εἰς τὴν μεσόγεων. τοὺς ἅλας δὲ πωλήσας,*
*πάλιν γομώσων τὸν ὄνον ἦγε καὶ πλείω*
*⟨ἔτ'⟩ ἐπετίθει τὸν φόρτον. ὡς δὲ μοχθήσας*
*διέβαινε τὸν ῥοῦν, οὗπερ ἦν πεσὼν πρῴην,*
*ἑκὼν κατέπεσε, καὶ πάλιν γόμους τήξας*
*κούφως ἀνέστη, γαῦρος ὥς τι κερδήσας.*
*ὁ δ' ἔμπορος μὲν ἐπενόησε καὶ πλείστους*
*σπόγγους κατῆγεν ὕστερον πολυτρήτους*
*ἐκ τῆς θαλάσσης, τοὺς δ' ἅλας μεμισήκει.*
*ὁ δ' ὄνος πανούργως, ὡς προσῆλθε τῷ ῥείθρῳ,*
*ἑκὼν κατέπεσεν· ἀθρόως δὲ τῶν σπόγγων*

---

**111,** 5e = 116, 8 | 7e = 103, 9 | 18i = 12

---

**111,** 3 *τούτων* Piccolos (Eb), *ὄντας* Lm | *πριᾶσθαι* A m. pr., corr. m. r. | *φορτήσας* A ‖ 4 *ἀνῆγε?* | *προκυπτούσης* O. Jahn ‖ 6 *ἐλαφρύνθη* AB, *ἠλ-* Lm; cf. 95, 47 ‖ 8 *μεσόγειον* A, corr. Db; cf. Zenob. volg. I 12 (Mill. II 86) *εἰς τὴν μεσόγεων γὰρ ἀναβάντες οἱ ἔμποροι ἐκόμιζον ἅλας* ‖ 10 *ἔτ'* add. Lm Hm ‖ 11 *παρέβαινε* O. Jahn ‖ 12 *ὅλους τήξας* A, corr. Bgk (*γόμον* Eb); *δ' ὅλους* Lewes Schnw (postea Rth), *παλιμβόλως* M. Schmidt (postea Gb); *δόλους τεύξας* Mk ‖ 13 *ἀνέστη γαῦρος* (suprascr. *β α* m. rec.) *κοῦφος* A, corr. Eb; num *ἀνήει?* | *κερδήνας* Hecker Eb ‖ 14 *τέχνην μὲν ἐπενόησε κ̓ πλείστους* A m. pr., *μὲν* del., *ἐπινοεῖ* corr. del. *-σε* m. rec.; *τέχνην* sustulit Eb; restitui *ἐπενόησε*, cf. F *ἐπενόησεν αὐτοῦ τὰς διανοίας*; *τέχνην ἑτέραν νοήσας* perperam B; — *τέχνην γὰρ ὑπενόει* — Bgk, possis *ὃ δὲ τὴν τ.* ‖ 15 *ἀνῆγεν?* ‖ 16 *τοὺσθ' ἄλλας* A, corr. Eb ‖ 17 *πανοῦργως* A m. pr., *-ούργως* cum m. r. plerique; accentus num lectionis *πανοῦργος* indicium? | *προῆλθε* A, corr. ex B* (Lm) ‖ 18 *ἑκὼν κατέπεσε* AB, *ὁ δὲ ἀπιὼν κ.* F; correctura (*τρίτον* Sdl, *ἔθων?* Eb) non opus est | *ἀθρόως*, *ἀ-* ex *ἁ-* m. pr. A

*διαβραχέντων πᾶς ὁ φόρτος ὠγκώθη,*
*βάρος δὲ διπλοῦν ἦλθε βαστάσας νώτοις.*
[*πολλάκις ἐν οἷς τις ηὐτύχησε καὶ πταίει.*]

**112** *Μῦς ταῦρον ἔδακεν. ὃ δ' ἐδίωκεν ἀλγήσας*
*τὸν μῦν· φθάσαντος δ' εἰς μυχὸν φυγεῖν τρώγλης,*
*ὤρυσσεν ἑστὼς τοῖς κέρασι τοὺς τοίχους,*
*ἕως κοπωθεὶς ὀκλάσας ἐκοιμήθη*
*παρὰ τὴν ὀπὴν ὁ ταῦρος. ἔνθεν ἐκκύψας*
*ὁ μῦς ἐφέρπει, καὶ πάλιν δακὼν φεύγει.*
*ὃ δ' ἐξαναστὰς οὐκ ἔχων ὃ ποιήσει*
f. 40ª *διηπορεῖτο· τῷ δ' ὁ μῦς ἐπιτρύξας*
*„οὐχ ὁ μέγας ἀεὶ δυνατός. ἔσθ' ὅπου μᾶλλον*
*τὸ μικρὸν εἶναι καὶ ταπεινὸν ἰσχύει."*

**113** *Μάνδρης ἔσω τις πρόβατα συλλέγων δείλης*
*κνηκὸν μετ' αὐτῶν λύκον ἔμελλε συγκλείειν.*
*ὁ κύων δ' ἰδὼν πρὸς αὐτὸν εἶπε „πῶς σπεύδεις*
*τὰ πρόβατα σῶσαι, τοῦτον εἰσάγων ἡμιν;"*
[*Ὁ μῦθος δηλοῖ ὅτι οὐκ ἀσφαλὴς ἡ μετὰ τῶν κακῶν συνοικία.*]

---

**111,** 19e = 86, 5 | 20e = 41, 1 ‖ **112,** 2e = 108, 22 | 4ie = 16, 5 | 5e = 96, 1, cf. 108, 24 | 7me = 2, 4 | 10 cf. 4, 7

---

**111,** 19 *ὀγκώθη* A ‖ [21] Lm, tuetur Bgk | *καὶ πίπτει* BP[1]F
**112** Avian. 31 ‖ 3 cf. 31, 13. 19; num *τὰς βώλους*? ‖ 5 *ἔνθεν δ'* A, corr. Db, cf. 96, 1 ‖ 7 *κοὐκ* Bgk | *ὀργίλως δ π.* Eb, cf. l. sim. ‖ 8 *ἐπιτρίξας*? cf. 108, 23 ‖ 9 *ἀεὶ* A m. pr., *αἰ-* m. rec.
**113** B 89 P[1] 57; tetr. II 27; vetusta *παροιμία ἐξηπλωμένη* (cf. A. P. V 178, 8, Plaut. Pseud. I 2, 8, Cic. Phil. III 11, 27, Ps.-Diog. 496 p. 269), quam ut Christianam suspectavit Rth ‖ 1 *δειλῆς* A ‖ 2 *κνάκον* A m. pr. *-ὸν* m. r., corr. Bss, cf. 122, 12 ‖ *συγκλεῖσαι* B* ‖ 3 sq. *πῶς τὰ πρόβατα θέλων σῶσαι τοῦτον εἰσάγεις ἔσω* BP[1], unde v. 3 *σπεύδων* v. 4 *εἰσάγεις* Bgk ‖ 4 *σῶσαι* AB*, *σῷσαι* plerique | *ἡμῖν* A, *εἴσω* ex B*Bgk

**114** *Μεθύων ἐλαίῳ λύχνος ἑσπέρης ηὔχει*
*πρὸς τοὺς παρόντας ὡς ἑωσφόρου κρείσσων*
*ἅπασι φέγγος ἐκπρεπέστατον λάμπειν.*
*ἀνέμου δὲ συρίσαντος εὐθὺς ἐσβέσθη*
*πνοιῇ ῥαπισθείς. ἐκ δὲ δευτέρης ἅπτων*
*εἶπέν τις αὐτῷ „φαῖνε, λύχνε, καὶ σίγα·*
*τῶν ἀστέρων τὸ φέγγος οὐκ ἀποθνῄσκει.“*

[*Ὁ μῦθος ἡμᾶς διδάσκει μηδαμῶς φυσιοῦσθαι ἐπὶ τοῖς τοῦ βίου λαμπροῖς, ἐπισταμένους μηδὲν εἶναι μόνιμον.*]

**115** *Νωθὴς χελώνη λιμνάσιν ποτ' αἰθυίαις*
*λάροις τε καὶ κήυξιν εἶπεν ἀγρώσταις*
*„κἀμὲ πτερωτὴν εἴθε τις πεποιήκει.“*
*τῇ δ' ἐκ τύχης ἔλεξεν αἰετὸς ταῦτα·*
f. 40b *„πόσον, χέλυμνα, μισθὸν αἰετῷ δώσεις,*

---

**114,** 1e = 14, 1 | 3i = 95, 80 | 4e = 128, 1 | 7e = 121, 4

---

**114** V 114 (Kn. p. 675); B 90 P[1] 58 ‖ 2 *Ἑωσφ.*? ‖ 3 *λάμπειν ἅπασιν ἐκπρ. φέγγος* AV, transp. Eb; *ἅπας* in versus initio ponere amat Babr. | *ὡς ὑπὲρ ἥλιον* .. *λάμπει* B; *λάμπει* Eb, cf. 14, 1. 43, 5 ‖ 4 *ἀνέμου δὲ πνοῆς συρρεύσαντος* BP[1] ‖ 5 *πνοῇ* A, *πνοιῇ* V(Fx) | *ῥαπισθεὶς* A m. pr., corr. m. r.; *ῥιπισθεὶς* in mg. non legitur ‖ 6 *αὐτῶ* A | *φαῖνε, λύχνε, καὶ σίγα* VB* *βαιὸν* (*β* ex *μ*) *ἢν λύχνου* [ci. *λύχνε*] *πνεῦμα* A | *τῶν* B*V, *τῶν δ'* A ‖ 7 *οὔποτ' ἐκλείπει* VB* ‖ Epim. *Ὁ μῦθ* A | *ἐπισταμένους, -ους* ex *-οις* m. pr. A | Aliud epimythium in BP[1] *Ὅτι οὐ δεῖ τινα ἐν ταῖς δόξαις καὶ τοῖς λαμπροῖς* (*τ. λ. καὶ τῇ δόξῃ* P[1]) *τοῦ βίου τυφοῦσθαι κτλ.* | *ἀρχὴ τοῦ ν* m. 2 in mg.

**115** Avian. 2, myth. p. 218, tetr. I 40; cf. F 193 (A[u] 229) ‖ 1 *λιμνάσιν*, in marg. *λιμναίαις* A m. pr., quod del. m. r., cf. 24, 3 ‖ 4 *ἐντυχὼν* Eb Mk Herm. I 323, Thompson *Journ. of philol.* XII 24 | *ταῦτα* A, tentavi *κύρσας* (134, 19) vel *νώσας, σκώπτων* Eb p. XI ‖ 5 *χέλυνα* Schnw Phil. I 379, *χέλυννα* Mk, sed cf. Herodian. I p. 265, 31 sq. L.

*ὅστις σ' ἐλαφρὴν καὶ μετάρσιον θήσω;"*
*„τὰ τῆς Ἐρυθρῆς πάντα δῶρά σοι δώσω."*
*„τοιγὰρ διδάξω" φησίν. ὑπτίην δ' ἄρας*
*ἔκρυψε νέφεσιν, ἔνθεν εἰς ὄρος ῥίψας*
*ἤραξεν αὐτῆς οὖλον ὄστρακον νώτων.*
*ἡ δ' εἶπεν ἐκψύχουσα „σὺν δίκῃ θνήσκω·*
*τί γάρ νεφῶν μοι, καὶ τίς ἦν πτερῶν χρείη,*
*τῇ καὶ χαμᾶζε δυσκόλως προβαινούσῃ;"*

**116** *Νυκτὸς μεσούσης ᾖδε παῖς τις εὐφώνως.*
*γυνὴ δ' ἀκούει τοῦδε, κἀξαναστᾶσα*
*θυρίδων προκύπτει, καὶ βλέπουσα τὸν παῖδα*
*λαμπρῆς σελήνης ἐν φάει καλὸν λίην,*
*τὸν ἄνδρ' ἑαυτῆς καταλιποῦσα κοιμᾶσθαι*
*κάτω μελάθρων ἦλθε, καὶ θύρης ἔξω*
*ἐλθοῦσ' ἐποίει τὴν προθυμίην πλήρη.*
*ὡνὴρ δὲ ταύτης ἐξανίστατ' ἐξαίφνης*
*ζητῶν ὁπουστί, κοὐκ ἰδὼν δόμων εἴσω*
*μηδὲν χανών τε καὐτὸς ἦλθεν εἰς οἶμον.*

---

**115,** 11 me cf. 122, 14 | 12 sq. cf. 132, 27. 131, 8 ‖ **116,** • 1 e = 73, 2 | 7 e cf. 46, 6 | 8 e = 18, 11. 111, 5. 124, 1

---

**115,** 8 *τοὶ γὰρ* A ‖ 10 num *αὐτοῖς — νώτοις* vel *αὐτοῖς οὖλον ὀστράκοις νῶτον*? cf. Ael. nat. an. XVI 1. XIV 17 ‖ 11 *θνήισκω* A ‖ 12 *τίς* BtLm, cf. prol. p. III[1] | *πτερῶν* (*πτ* m. pr. e corr.) *χρεία* A

**116** V 129 (Kn p. 677); Apul. met. IX 26, Mart. II 47. 49. 60; cf. Cr p. 216[5], Schm mus. Rh. XXVI 203 ‖ 2 *κἐξαναστᾶσα* V ‖ 4 *λαμπρᾶς* et *λίαν* A ‖ 5 *ἄνδρα αὐτῆς* V | *εὕδοντα ἐκλιποῦσα* V ‖ 7 *ἕρπουσ'* corr. non opus | *τῆι προθυμιηι* A, corr. Bss | *πλήρη* A, *πᾶσαν* V ‖ 8 *ὤνὴρ* A, *ἀνὴρ* V, *ἁ-* Lm | *δ' ἐγερθεὶς*? ‖ 9 *ζητῶν ἐφευρεῖν* V | *δὲ ποῦ'*? | *ὁπούστί, ι* ex *η* m. pr. A | *δόμον ἴσω* A ‖ 10 *μηδὲν χανών* A, suprascr. m. rec. *μελήσας* (= *μελλ.*), cf. 110, 2, adn. 95, 63, Semon. 7, 110, *μηδὲν χαυνῶν* V, cf. Spp p. 1576; *ἀμηχανῶν* Ah, *μηδὲν χαλῶν* Kn | *τι* Bgk Spp p. 1576 coll. 98, 3 | *δισοιμαι* A m. pr., *εἰς οἶμον* corr. m. rec.; *εἰς οἶκον* V

*καὶ τῇ συνεύνῳ φησί „μηδὲν ἐκπλήσσου,*
*τὸν παῖδα δ' ἡμῶν πεῖσον ἐν δόμοις εὕδειν.“*
f. 41ᵃ *ὃν καὶ λαβὼν παρῆγεν. εἶτα κἀκεῖνος,*
*ἄμφω θελόντων δρᾶν τι, τῇδ' ἐραθύμει.*
*[τουτὶ μὲν οὕτως· ἔμφασις δὲ τοῦ μύθου,*
*κακὸν ἐπιχαίνειν, ὅταν ἔχῃ τις ἐκτῖσαι.]*

**117** *Νεώς ποτ' αὐτοῖς ἀνδράσιν βυθισθείσης*
*ἰδών τις ἔλεγεν ἄδικα τοὺς θεοὺς κρίνειν·*
*ἑνὸς γὰρ ἀσεβοῦς ἐμβεβηκότος πλοίῳ*
*πολλοὺς σὺν αὐτῷ μηδὲν αἰτίους θνήσκειν.*
*καὶ ταῦθ' ὁμοῦ λέγοντος, οἷα συμβαίνει,*
*πολλῶν ἐπ' αὐτὸν ἑσμὸς ἦλθε μυρμήκων,*
*σπεύδοντες ἄχνας πυρίνας ἀποτρώγειν·*
*ὑφ' ἑνὸς δὲ δηχθεὶς συνεπάτησε τοὺς πλείους.*
*Ἑρμῆς δ' ἐπιστὰς τῷ τε ῥαβδίῳ παίων*

---

**116,** 11 me = 36, 9 ‖ **117,** 5 e = 132, 9. 171, 8 | 6 cf. 72, 7 | 9 i = 20, 6 (84, 1) | 9 me = 98, 16. 125, 30; cf. 28, 1

---

**116,** 11 *ἐκπλήττου* V ‖ 12 *ἡμῖν* Lm | *εἰς δόμους* A, vix servandum, corr. Hartung | *εὕδειν* A, *σπεύδειν* Eb, *ἥκειν* Schw, possis *ἕρπειν* ‖ 13 cf. Mart. Apul. l. s. p. 171, 15 Eyss.; eadem ratione Demosthenis uxor eandem iniuriam ulta esse dicitur, cf. Athen. XIII p. 593 A (Idom. FHG. II 492) ‖ 14 *δρᾶν. τί τῆιδ* ('hac ratione') A, *ἦδ'* V; *χῆδ'* Lm Schnw | *ἐραθύμει* AV (cf. Suid. s. *ῥαθυμεῖν .. τοῖς ἀφροδισίοις σχολάζειν*, LXX Maccab. II 64); de sententia loci cf. Apul. met. IX 27. 28 Martial. XI 43 Catull. 56, 7; exitus mutilatus? ‖ [15. 16] Eb | *κακὸν ἐπιχαίρειν* A, corr. ut videtur ex *κακοῦ ἔστι χ.*, em. Bgk | *κακόν ἐστι δαίρειν* Lm (*δαρθεῖν* Polyla) ‖ Post v. 16 spat. duorum versuum A

**117** Tab. cer. IVᵛᵒ 6, V 122 (p. 676 Kn), B 95; de sententia cf. Aesch. Sept. 589, Eurip. fr. 852, 5 N.; Hor. c. III 2, 29 ‖ 2 *ἔλεγεν ἄδικα* A, *αδικωσειπεν* Tab., *ἀδίκως ἔλεγε* BV | *κρίνυν* V ‖ 3 *πλείω* V ‖ 4 *μηθεν* T ‖ 5 *λέγοντες* A, *-τος* BV ‖ 6 *πολυσεισαυτονηκεθεσμοσ κτλ.* T, *ἵκεθ' ἑ.* Hss ‖ 7 *σπεύδων τὰς* V ‖ 8 *συνεπάτει* V | *τοὺς πλείους* bene A, *τοὺς πάντας* VBKnGb, *τοὺς ἄλλους* eTHss | *δ'* V, *δὲ* B, *τ'* A ‖ 9 *ραβδιων. ξασ* T, *ῥ. νύξας* Hss, cf. proleg. p. XI[2]

„εἶτ' οὐκ ἀνέξῃ“ φησί „τοὺς θεοὺς εἶναι
ὑμῶν δικαστὰς οἷος εἶ σὺ μυρμήκων;“

[Ὁ λόγος διδάσκει ἡμᾶς μηδὲν ψέγειν τὰς τοῦ θεοῦ περὶ τοὺς ἀνθρώπους ἀκαταλήπτους οἰκονομίας, κἂν ἄδικοι τοῖς ἀπαιδεύτοις δοκοῖεν εἶναι.]

118 Ξουθὴ χελιδών, ἡ πάροικος ἀνθρώπων,
ἦρος καλιὴν ηὐθέτιζεν ἐν τοίχῳ,
f. 41[b] ὅπου γερόντων οἶκος ἦν δικαστήρων·
κἀκεῖ νεοσσῶν ἑπτὰ γίνεται μήτηρ,
οὔπω πτερίσκοις πορφυροῖς ἐπανθούντων.
ὄφις δὲ τούτους ἑρπύσας ἀπὸ τρώγλης
ἅπαντας ἑξῆς ἔφαγεν. ἡ δὲ δειλαίη
παίδων ἀώρων συμφορὰς ἐπεθρήνει,
„οἴμοι“ λέγουσα, „τῆς ἐμῆς ἐγὼ μοίρης·
ὅπου νόμοι γὰρ καὶ θέμιστες ἀνθρώπων,
ἔνθεν χελιδὼν ἠδικημένη φεύγω.“

[Κατὰ δικαστῶν ὁ λόγος βοηθεῖν δυναμένων τοῖς μηδὲν κακὸν πράξασι, καὶ τούτοις ὑπὸ μειζόνων ἀδικουμένοις μηδεμίαν ἀνάληψιν παρεχομένων.]

---

**118,** 5 cf. 88, 4. 95, 3. 108, 5 | 8 cf. 12, 3. 4. 24 | 9 cf. 7, 14

---

**117,** 10 *οὐκ ἀνέξῃ* A, *οὐκ ἀνέχῃ* B, *οὐν κἀνέξῃ* V, *ει[του]κοιει* T ‖ 10. 11 *εἶναι ὑμῶν* bene A, *τουσ[θ]εουσημωνειναι δ.* T, *ὑμῶν εἶναι* etiam V, cf. prol. p. XLIV | *οποιος* T ‖ Epim. *ὁ λ. δηλοῖ μηδένα τολμᾶν κτλ.* V, verius ft., nam *μηδένα* in A legit Eb | *θῦ* (= *θεοῦ*) et *ἄνους* A | *δοκοῖεν* V, *δοκεῖεν* A, *δοκῶσιν* Eb, *ἀρχὴ τοῦ ξ* m. 2 in mg.

**118** B 96 P[1] 60, F 190; tetr. I 56; paraphr. inest in cod. Pal. Vat. 124 ‖ 1 *ξένη* BP[1], om. F ‖ 5 *ἐπανθούντῶ* ut solet A ‖ [5] Gb temere; quae non exprimunt paraphrases omnino longe ab A recedunt ‖ vv. 5 et 6 sedes mut. Sdl Bgk ‖ v. 5 *πορφυροῖσιν ἀνθοῦντας* Sdl; *πτερίσκων πορφυρῶν* Bgk ‖ 8 *ἀπεθρήνει* Fx ‖ 10 *θέμιστες* ipse A ‖ 11 *φεύγει* A, corr. Lm, *ἐγὼ ἠδικήθην* vel *ἠδίκημαι* paraphr.; hirundo hominum *ἱκέτις* A[u] 39 Aes. 417 H. ‖ Epim. *κακῶς* Eb | *τούτους — ἀδικουμένους* A, corr. Bss

119 *Ξύλινόν τις Ἑρμῆν εἶχεν· ἦν δὲ τεχνίτης.*
*σπένδων δὲ τούτῳ καὶ καθ' ἡμέρην θύων*
*ἔπρασσε φαύλως. τῷ θεῷ δ' ἐθυμώθη,*
*χαμαὶ δ' ἀπεκρότησε τοῦ σκέλους ἄρας.*
*χρυσὸς δὲ κεφαλῆς ἐρρύη καταγείσης·*
*ὃν συλλέγων ἄνθρωπος εἶπεν „Ἑρμεία,*
*σκαιός τίς ἐσσι καὶ φίλοισιν ἀγνώμων,*
*ὃς προσκυνοῦντας οὐδὲν ὠφέλεις ἥμας.*
*ἀγαθοῖς δὲ πολλοῖς ὑβρίσαντας ἠμείψω.*
f. 42ª *τὴν εἰς σὲ καινὴν εὐσέβειαν οὐκ ᾔδειν."*
*[καὶ τοὺς θεοὺς Αἴσωπος ἐμπλέκει μύθοις,*
*βουλόμενος ἡμᾶς νουθετεῖν πρὸς ἀλλήλους.*
*πλέον οὐδὲν ἕξεις σκαιὸν ἄνδρα τιμήσας,*
*ἀτιμάσας δ' ἂν αὐτὸν ὠφεληθείης.]*

120 *Ὁ τελμάτων ἔνοικος, ὁ σκιῇ χαίρων,*
*ὁ ζῶν ὀρυκτοῖς βάτραχος παρ' εὐρίποις,*
*εἰς γῆν παρελθὼν ἔλεγε πᾶσι τοῖς ζῴοις·*
*„ἰατρός εἰμι φαρμάκων ἐπιστήμων,*

---

**119,** 2m = 10, 7 | 3e = 82, 2 | 4me = 42, 4 | 7e = 95, 17 || **120,** 3e = 56, 1 | 4e = 21, 2. 85, 3

---

**119** B 97, F 21, A° Cor. 128; cf. Clem. protr. II 27 p. 7 S. || 2 *ἡμέραν* A || 6 *ἄνθρωπος* A, corr. Lm; *ὁ ἄνθρωπος* BF | *τόν?* | *Ἑρμείη* Rth || 7 *στρεβλός τις* BF | *εἶ* A, *ἐσσι* Ahr coll. 77, 7, *εἶ ⟨σὺ⟩* Bgk || 8 *ἡμᾶς* A | *ὠφελεῖς* A || 9 *ἀγαθοῖς* AB, *καλοῖς* F || 10 om. paraphr. | *κενὴν* A, corr. Bss || 11 *καὶ* vocis *κ* littera ad mg. proiecta m. r. || 13 *ἄνδρ' ἀτιμήσας* A corr. m. pr. || [11—14] Eb; 13. 14 = prom. BF; ad v. 11 cf. Himer. XX 4, sed versus utique dubii || Post v. 14 duorum vv. spatium vacuum | *ἀρχὴ τοῦ ο* A m. 2 in mg.

**120** V 20 (Kn p. 672), B 113, F 154; liberius A° 135; Avian. 6; tetr. II 29, cf. Aphthon. 24 (= Nicol. 7, Rhet. I 268 W.), Themist. *περὶ ἀρετῆς* mus. Rhen. XXVII p. 458 || 2 *εὐρύποισ*, *υ* in *ι* corr. m. pr. A || 4 *εἶναι* A (Av. 6, 5?), *εἰμι* paraphr.

οἴων τάχ' οὐδεὶς οἶδεν, οὐδ' ὁ Παιήων,
ὃς Ὄλυμπον οἰκεῖ καὶ θεοὺς ἰατρεύει."
„καὶ πῶς" ἀλώπηξ εἶπεν „ἄλλον ἰήσῃ,
ὃς σαυτὸν οὕτω χλωρὸν ὄντα μὴ σῴζεις;"

[Πρὸς ἄνδρα ἀμαθῆ καὶ ἀπαίδευτον, ἄλλους παιδεύειν ἐπαγγελλόμενον.]

121 Ὄρνις ποτ' ἠσθένησε. τῇ δὲ προσκύψας
αἴλουρος εἶπε „πῶς ἔχεις; τίνων χρῄζεις;
ἐγὼ παρέξω πάντα σοι· μόνον σῴζου."
[ἡ δ' ὄρνις εἶπεν μῦθον ἄξιον γνώμης·] 3b
ἣ δ' „ἢν ἀπέλθῃς", εἶπεν „οὐκ ἀποθνήσκω." 4
f. 42b
[Πρὸς τοὺς πονηρᾷ διαθέσει χρηστότητα ἐπιδεικνυμενους ὁ λόγος εὔκαιρος.]

---

121, 1e = 130, 7, cf. 96, 1 | 2m = 103, 12 | 4e = 114, 7 | 4i = 84, 6 | 11e cf. 57, 2

---

**120,** 5 sq. cf. Avian. l. s., Luc. tragodop. 143 || 8 δσ A, σ ex ν m. pr. || 8 *χλωρὸν* ipse A teste Eb, item B (ὃς *ἑαυτὸν χλ. ὄντα οὐκ ἰατρεύεις*), Avian. 6, 12 (*caeruleus cui notat ore color*), Aphthon., Themist. l. s. s. p. 458, ubi vide Buecheleri adnotationem; *χωλὸν* VFA[c] || Epim. *ἐπαγγελλομένου* A m. pr., corr. m. rec. | Aliud epim. in BP[1]: *ὅτι τινὲς διπλοῖς κινδύνοις περιπεσόντες καὶ τοῖς ἐχθροῖς ὠφελεῖν πειρωμένοις .. ἀνταμοιβὴν κακὴν παρέσχον.*

**121** Tab. cer. VII[r] 14 (Phil. LIII p. 238), B 111 P[1] 67, F 157; tetr. II 24 (longius recedit I 16; cf. fab. 249 sq.) || 1 *ορνιξ* T | *πότ'* A | *προκύψας* B, *προσκύψας* A (teste Eb) T || v. 2 *τιθελεισ ητινοσχρ.* T || 3 *σοι πάντα* A, corr. Db || 3[b] om. ABF, accessit in tab. aperta interpolatione | *ὄρνιξ* Tab. || 4 *ἡ δ' ἂν* A m. pr., *ἣ δ' ἐὰν* m. r., *συδαν* T | *ἀποθνήισκω* A || Tetrasticho abusus post 4 versum addit Lm *χρονιώτερον γὰρ δορκάδος βίον ζήσω* | nullum cur 'fabulam in brevius contractam esse' (Eb Rth) putemus indicium || Aliud epim. in BP[1] *ὅτι ὑποκριτὰς .. ὁ μῦθος (λόγος) ἐλέγχει*

122 *Ὄνος πατήσας σκόλοπα χωλὸς εἱστήκει·*
*λύκον δ' ἰδὼν παρόντα καὶ σαφῆ δείσας*
*ὄλεθρον οὕτως εἶπεν· „ὦ λύκε, θνήσκω*
*μέλλω τ' ἀποπνεῖν. σοὶ δὲ συμβαλὼν χαίρω·*
*σὺ μᾶλλον ἢ γὺψ ἢ κόραξ με δειπνήσεις.*
*χάριν δέ μοι δὸς ἀβλαβῆ τε καὶ κούφην*
*ἐκ τοῦ ποδός μου τὴν ἄκανθαν εἰρύσσας,*
*ὥς μου κατέλθῃ πνεῦμ' ἀναλγὲς εἰς Ἅιδου.“*
*κἀκεῖνος εἰπὼν „χάριτος οὐ φθονῶ ταύτης“*
*ὀδοῦσιν ἄκροις σκόλοπα θερμὸν ἐξῄρει.*
*ὁ δ' ἐκλυθεὶς πόνων τε κἀνίης πάσης*
*τὸν κνηκίην χάσκοντα λακτίσας φεύγει,*
*ῥῖνας μέτωπα γομφίους τ' ἀλοιήσας.*
*„οἴμοι“, λύκος „τάδ'“ εἶπε „σὺν δίκῃ πάσχω·*
*τί γὰρ ἄρτι χωλοὺς ἠρξάμην ἰατρεύειν,*
*μαθὼν ἀπ' ἀρχῆς οὐδὲν ἢ μαγειρεύειν;“*

[*Ὅτι οἱ τοῖς μηδὲν προσήκουσιν ἐπιτηδεύμασι ἐπιχειροῦντες, εἰκότως δυστυχοῦντες βλάβην ἑαυτοῖς ἐπιφέρουσι.*]

---

122, 9 cf. 75, 13 | 14 me = 115, 11 | 15 i = 115, 12; cf. 129, 23 sq.

---

122 B 106 P[1] 64, F 134 (A[u] 227); myth. p. 218, tetr. I 21; 11. 12 Suid., epim. Georg. ‖ 1 *σκόλωπα* A m. pr., corr. m. r. ‖ 4 *τ'* Bk, *δ'* A ‖ 5 *δειπνήσει* A, em. Bss; *σοῦ δεῖπνον γενέσθαι* BF ‖ 7 *ἄκανθαν* ipse A | *εἰρύσας* A, corr. Fx Lm, *-σσαις* Bgk ‖ 8 *ἄναλγες* A | *σκόλοπα*, *λο* ex *λω* m. pr. ‖ 10 *ἐξήρει* A ‖ 11. 12 Suid. s. *κνηκίας· ὁ λύκος· Β. ἐν τοῖς μυθικοῖς* | *κἀνίης* S, *καὶ ἀναιδείης* A | *κνακίαν* A, *κνη-* S, cf. 113, 2 | *λακτήσας* A, *-ίσας* BFS ‖ 13 *τ'* del. Bgk Schnw | *ῥῖνα καὶ μέτωπον καὶ ὀδόντας συγκλάσας* BP[1], sim. (*θλάσας*) F ‖ 15 *ἄρτι*, *ρ* ex *ν* m. pr. A | *ἠνξάμην* A ‖ Epim. Georg. I p. 67 Bss | *ἐπιτηδεύειν* A Georg., em. Eb Bgk

123 Ὄρνιθος ἀγαθῆς ᾠὰ χρυσᾶ τικτούσης
ὁ δεσπότης ἐνόμισεν ἐντὸς εὑρήσειν
χρυσοῦ μέγιστον ὄγκον, ὅνπερ ὠδίνειν·
θύσας δὲ ταύτην εὗρε τὴν φύσιν πάσαις
⟨τὰ πάνθ'⟩ ὁμοίην ⟨οὖσαν. ἀθρόως δ' ἕξειν⟩
μέγιστον ὄλβον ἐλπίσας τε καὶ σπεύσας
ἀπεστερήθη τοῦ τὰ μικρὰ κερδαίνειν.

[Ὅτι τοῖς παροῦσιν ἀρκείσθω τις καὶ τὴν ἀπληστίαν φευγέτω.]

---

**123** Tab. cer. 13 VII[ro], B 112 $P^1$ 68; $A^c$ Cor. 136, F 153; tetr. I 37; Avian. 33; cf. Phil. LIII p. 245 ‖ 1 *ὠιὰ χρυσᾶ* A, *ωαχρυσα* T, *χρυσὰ* ut B $P^1$ Roeper Philol. X 501; *χρ. ὠ.* B*F unde *χρυσέ' ᾠὰ* Lm | in hoc versu desinit A fol. $42^b$, in mg. inf. *ἵλεως κύριε γενοῦ τοῦ δούλου σου νίλου* m. 3; cetera accesserunt ex T ‖ 3 *ωδεινειν* Tab. ‖ 5 *ομοιαν* Tab. | suppl. Cr ex 93, 5, an ⟨*λοιπαῖς*⟩? *εὗρεν οὖσαν ὁμοίαν τῶν λοιπῶν ὀρνίθων* B, sim. F; de exitu cf. 111, 18. 74, 13 ‖ 6 *μέγιστον ὄγκον* Tab. Hesseling; *ἀθρόον πλοῦτον* B $A^c$, em. Cr ‖ Epim. servavit B, om. $P^1$, qui fabulae 113 B = 120 A epim. subiecit. Versus quos mala fraude in A ascripsit Minas non magis repeto quam Gitlbaueri tentamina, quibus nullum poetae verbum restitutum est

124 Ὀρνιθοθήρῃ φίλος ἐπῆλθεν ἐξαίφνης,
μέλλοντι θύμβρα καὶ σέλινα δειπνήσειν.
ὁ δὲ κλωβὸς εἶχεν οὐδέν· οὐ γὰρ ἠγρεύκει.
ὥρμησε δὴ πέρδικα ποικίλον θύσων,
ὃν ἡμερώσας εἶχεν εἰς τὸ θηρεύειν.
ὃ δ' αὐτὸν οὕτως ἱκέτευε μὴ κτεῖναι·
„τὸ λοιπόν, ⟨ὦ τᾶν⟩, δικτύῳ τί ποιήσεις,
ὅταν κυνηγῇς; τίς δέ σοι συναθροίσει
εὐωπὸν ἀγέλην ὀρνέων φιλαλλήλων;
τίνος μελῳδοῦ πρὸς ⟨τὸν⟩ ἦχον ὑπνώσεις;"
ἀφῆκε τὸν πέρδικα, καὶ γενειήτην
ἀλεκτορίσκον συλλαβεῖν ἐβουλήθη.
ὃ δ' ἐκ πεταύρου κλαγγὸν εἶπε φωνήσας·
„πόθεν μαθήσῃ πόσσον εἰς ἕω λείπει,

---

**124,** 1e = 116, 8. 111, 5 | 2e cf. 107, 1 | 6me = 179, 4; cf. 6, 5. 107, 3 | 7i = 75, 7 | 12i = 97, 9 | 13e = 37, 9. 17, 4

---

124—135 sequuntur fabulae Vaticano traditae, cf. prol. p. VII; add. 150a

**124** V 155 (Knöll p. 685, Fur. 369); 13 sqq. Suid., cf. Pr 193 p. 373 St.; epim. Georg ‖ 1 ὀρνιθοθήρᾳ V | αἴφνης V, corr. Schnr ‖ 4 δὲ V | θύσον V ‖ 5 ἡμερώσαν et θηρέβειν V ‖ 6 δὲ et ἱκέτεβε V | κτείνειν Rth | „τὸ λοιπὸν" ⟨εἶπε⟩ Schnr, sed cf. locos s. s.; suppl. Cr. coll. 63, 8; „⟨φείδου·⟩ τὸ λ. St, ⟨ψιλῷ⟩ τὸ λ. Piccolos ‖ 9 εὐωπῶν V, corr. Schnr, cf. Arist. h. a. IX 9 ‖ 10 τὸν add. Coraïs ‖ 11 γεννειήτην V ‖ 12 ἐβουλήθει V ‖ 13 sqq. Suid. s. v. πέταυρα· τίγνα | δὲ VS | ἐκ τοῦ τέγους V | κλαγγὸν S, -ὴν V, cf. 135, 5; κλαγκτὸν Jacobs | βοήσας S, cf. 17, 4, poterat εἶπεν ἐκβώσας ‖ 14 μαθήσει πόσον V, verum servavit S

*τὸν ὡρόμαντιν ἀπολέσας με; πῶς γνώσῃ*
*πότ' ἐννυχεύει χρυσότοξος Ὠρίων;*
*ἔργων δὲ τίς σε πρωινῶν ἀναμνήσει,*
*ὅτε δροσώδης ταρσός ἐστιν ὀρνίθων;"*
*κἀκεῖνος εἶπεν „οἶσθα χρησίμους ὥρας·*
*ὅμως δὲ δεῖ σχεῖν ⟨τὸν φίλον⟩ τί δειπνήσει."*
[*Ὅτι τῷ ἀνδρὶ δουλεύειν ἐπιθυμίαις εἰθισμένῳ οὐδεὶς λόγος ἰσχυρὸς πρὸς τὸ μὴ πράττειν ἀεὶ τὰ καθ' ἡδονήν.*]

**125** *Ὄνος τις ἀναβὰς εἰς τὸ δῶμα καὶ παίζων*
*τὸν κέραμον ἔθλα, καί τις αὐτὸν ἀνθρώπων*
*ἐπιδραμὼν κατῆγε τῷ ξύλῳ παίων.*
*ὁ δ' ὄνος πρὸς αὐτόν, ὡς τὸ νῶτον ἠλγήκει,*
*„καὶ μὴν πίθηκος ἐχθὲς" εἶπε „καὶ πρώην*
*ἔτερπεν ὑμᾶς αὐτὸ τοῦτο ποιήσας."*
[*Ὁ μῦθος πρὸς ἄνδρας τοὺς ἐναντίως ἔχοντας τὰς δόξας καὶ κινδύνους ἑαυτοῖς ἐπιφέροντας.*]

**126** *Ὁδοιπορῶν ἄνθρωπος εἰς ἐρημαίην* * *
*ἑστῶσαν εὗρε τὴν Ἀληθίην μούνην,*

---

**125,** 1i = 141, 2 | 2e = 2, 16. 102, 3 | 3me = 139, 7, cf. 78, 15. 117, 9 | 126, 1e = 91, 2

---

**124,** 15 *ὡρομάτην* V, corr. I. G. Schnr, *ὡρονόμον* S | *ἀπολέσας* (om. *με*) V | *θύσας με* S || 16 *ἐννυχέβει* V || 17 *προινῶν* V || 19 *ὅτε* ⟨*δὴ*⟩? cf. p. LVI | *οἶδα* V, corr. Schnr, *οἶδα χρήσιμόν σ' ὥραις* Rth (El), num „*οἶδας*" *εἶπε*„? || 20 suppl. Schnr | *τι δειπνῆσαι* Lm || epim. Georg. p. 31

**125** V 141 (Kn p. 684, Fur. 368 || 1 *ἐπὶ* Bgk cf. 5, 5 | *κἀμπαίζων* ci. Cr p. 218, 1 || 2 cf. Herond. III 40. 44 (Cr 'Unters.' 65) | *ὡς τὸν* V || 5 *ὁ πίθηκος χθὲσ* V, corr. Buttmann | *ἡμᾶς* V

**126** V 133 (Kn p. 683, Fur. 364), brevius B 98; Eb 128 p. 79; cf. O. Hense Lect. Stob. act. soc. phil. Lips. II p. 37 adn. || 1 *ἐρημίαν* V | exciderit *παρῆλθεν ὕλην* (12, 2) *κἀμπλανώμενος ταύτῃ* | cf. Arat. 118 || 2 *ἀλήθειαν μόνην* V, correcturas editorum recepi interim, sed totus locus contractus videtur, cf. B *εὗρε γυναῖκα μόνην κατηφῆ ἑστῶσαν*, unde Eb: *μόνην κατηφῆ γραῦν τιν' εὗρεν ἑστῶσαν*

καί φησιν αὐτῇ „διὰ τίν' αἰτίην, γραίη,
τὴν πόλιν ἀφεῖσα τὴν ἐρημίην ναίεις;“
ἡ δ' εὐθὺ πρὸς τάδ' εἶπεν ἡ βαθυγνώμων·
„ὅτι πρὸ τοῦ μὲν παρ' ὀλίγοισιν ἦν ψεῦδος,
νῦν δ' εἰς ἅπαντας ἐξελήλυθ' ἀνθρώπους.“
[εἰ δ' ἔστιν εἰπεῖν καὶ βεβούλησαι κλύειν
ὁ νῦν βίος πονηρός ἐστιν ἀνθρώπων.]

['Ο λόγος οὗτος ἀνθρώπους κωμῳδεῖ, ὧν ἡ ἀλήθεια μακρὰν πέφευγε διὰ τὸ τῷ ψεύδει τούτους φιλεῖν καὶ μᾶλλον συνοικεῖν.]

**127** 'Ο Ζεὺς τὸν 'Ερμῆν ὀστράκοισιν ἐγγράψαι
ἁμαρτίας ⟨τε κἀδικήματ'⟩ ἀνθρώπων
ἐκέλευσε κἀς κιβωτὸν αὐτὰ σωρεύειν
⟨σταθεῖσαν⟩ αὐτοῦ πλησίην, ἐρευνήσας
ὅπως ἑκάστου τὰς δίκας ἀναπράσσῃ.
τῶν ὀστράκων δὲ κεχυμένων ἐπ' ἀλλήλοις

---

**127**, 3 cf. 201, 5

---

**126**, 3 *δι' ἣν αἰτίαν, γύναι* V, corr. Lm, sed hic quoque locus mutilus, B: *„τίς εἶ“; ἡ δὲ ἔφη· 'Αλήθεια“ καὶ διὰ ποίαν αἰτίαν τὴν πόλιν κτλ.*; coll. 135, 6 possis: *καί φησιν αὐτῇ· „τίς ⟨μὲν⟩ εἶ; ⟨τί δὲ κλήζῃ⟩; „'Αληθίη“. „καὶ διὰ τίν' αἰτίην, γραίη,* 6 *ὅτι ποτὲ παρ' κτλ.* V, *ὅτι πρὸ τοῦ μὲν παρ'* Lm | *ψεύδη*? || 7. 8 transp. Hense || 8 *ἐάν τι ἀκούειν καὶ λέγειν θέλῃς* (ad v. 7) B | *δέ* V | *καὶ κλύειν ἐμοῦ βούλῃ* Schnw || 7 *νῦν εἰς πάντας βροτοὺς ἐλήλυθε ψεῦδος* V, *νῦν δὲ εἰς π. ἀνθρώπους ἐστὶν* B, corr. Eb || 9 *πον. βίος* V, transp. I. G. Schnr | [9] Hense Eb; cf. prom. B: *ὅτι κάκιστος βίος καὶ πονηρὸς τοῖς ἀνθρώποις, ὅτε τὸ ψεῦδος προκρίνεται τῆς ἀληθείας*; unde novum versum edolavit Gb a Babrio certe alienum

**127** (Eb 130 Knoche p. 84) V 134 (Kn p. 683, Fur. 365), B 105; myth. 45 p. 219 | E proverbiis orta, cf. Cr p. 219, ubi adde Eurip. fr. 506 N. Stob. I 49 p. 395 W. || 1—3 *ὀστράκῳ γράφοντι* (sic) *τὸν 'Ερμῆν ἁμαρτίας* | *ἐκέλευσεν ὁ Ζεὺς εἰς κ. ταύτας σ.* V, *ὁ Ζεὺς τὰς τῶν ἀνθρώπων ἁμ. ἐν ὀστράκοις τὸν Ε. ὥρισε γράφειν καὶ εἰς κιβώτιον ἀποτιθέναι πλησίον αὐτοῦ* B, rest. Cr (prol.); cf. 66, 4 sq. || 4. 5 *ἵν' ἐρευνίσας ἑ. κτλ.* V, *ὅπως ἑ. κτλ.* (om. *ἐρ.*) B; 4 suppl. Gb || 5 *ἀναπράσσῃ* B, *ἀναπράσσει* V; *ἀναπράξει* Rth || 6 servavit V, nisi quod *ἐπ'* accessit ex B

*τὸ μὲν βράδιον τὸ δὲ τάχιον ἐμπίπτει*
*εἰς τοῦ Διὸς τὰς χεῖρας, εἴ ποτ' εὐθύνοι.*
*τῶν οὖν πονηρῶν οὐ προσῆκε θαυμάζειν*
*ἣν θᾶσσον ἀδικῶν ὀψέ τις κακῶς πράσσῃ.*

128 *Ὄϊς τις εἶπε πρὸς νομῆα τοιαῦτα·*
*„κείρεις μὲν ἡμᾶς, καὶ πόκους ἔχεις κέρσας,*
*⟨τὸ⟩ γάλα δ' ἀμέλγων ἔστι σοι φίλον πῆξαι,*
*ἡμῶν δὲ τέκνα μῆλά σοι περισσεύει.*
*πλέον οὐδὲν ἡμῖν· ἀλλὰ χὴ τροφὴ γαίης*
*ἅπασ' — ἐν ὄρεσι δ' εὐθαλὲς τί γεννήσει; —,*
*βοτάνη ⟨τ'⟩ ἀραιὴ καὶ δρόσου γεμισθεῖσα·*
*⟨τὴν⟩ κύνα δὲ φέρβεις ἧμιν ἐν μέσοις ταύτην*
*τρέφων ὁποῖα σαυτὸν εὐθαλεῖ σίτῳ.“*
*ταῦθ' †ὡς ἤκουσεν ἡ κύων ἔφη τοῖα·*

---

128, 4e = 108, 10

---

**127**, 7 serv. VB ‖ 8 V, in fine *εἴ ποτε καλῶς κρίνοιτο* B ‖ 9. 10 = prom. B. ‖ 10 *ἂν* VB | *ὀψέ τις* ipse V

**128** (Eb 131) V 136 (Kn p. 683, Fur. 366); cf. Knoche p. 104. Poeta expressit Xen. Mem. II 7, 13 ‖ 1 *νομέα*, corr. Buttmann | in fine *τοιάδε* V, *τοιαῦτα* volg.; num admisit *τοιούτως*? locum contractum esse Xenophontis exemplari collato negabis ‖ 3 *γάλα δ' ἀμέλγων ἔστι κτλ.* V, *ἀμέλγοντ'* Cor., sed cf. Schmid *Attic.* IV 114 coll. Theocr. XI 35 possis *ἀμέλγειν ἔ. κεὶ φίλον, π.*; *φλέον πῆξαι* Lm ‖ 4 *περισσεύσει* V ‖ 5 sq. *οὐδὲν δίδως, ὅτι ἂν μὴ ἐκ τῆς γῆς λάβωμεν* Xenoph. ‖ 5 *πλέον δ'* V; *πλέον* miris artificiis coniecturisque vexatum, cf. Aelian. VIII 24. XIV 25. Anth. Pal. VII 175. V 25 | *χὴ* Lm, *καὶ* V | *γαίας* Schndr, *γῆς* V ‖ 6 *πᾶσα* V, *πᾶσ' ⟨ἦν⟩* Gb Rth | *ὄρεσι δ'* Lm, *ὄρεσιν* V | *τι* V, *τί* Lm | *γεννήσει* V, *γεννᾶται* Coraïs, *γεννήσῃ* Gb Rth ‖ 7 *ὡραῖα βοτάνη* V, *βοτάνη γ' ὀρείη* Lm, *β. γ' ἀραιὴ* Hpt; an *-ν -ν* vel *-αι -αὶ*? | *γεμισθεῖσα* V, an *-ν* vel *-αι*? ‖ [7] Rth ‖ 8 *φέρβοις δ' ἂν ἡ. ἐν μέσοις κύνα ταύτην* V, corr. Cr, cf. prol. ‖ Post 9 versus exciderit, quo expressum erat Xenophontis ὃς *οὐδὲ τοιοῦτόν σοι παρέχει* ‖ 10 *ταῦτ' οὖν ἀκουσασ'* (cf. 88, 9 Xenoph. *τὸν κύνα οὖν ἀκούσαντα*) vel *τ. ὡς ἐπήϊ'* (*ἐπῆεν*) — *τοίως* vix fuit; *ἤκουσε τούτων ἡ κ. ἔφη θ' οὕτως* Eb

„εἰ μὴ παρήμην κἂν μέσοισι πωλεύμην,
οὐκ ἄν ποθ' ὑμεῖς ἔσχετ' ἄφθονον ποίην·
ἐγὼ δὲ περιτρέχουσα πάντα κωλύω
δρηστῆρα ληστὴν καὶ λύκον διωκτῆρα."
[Ὁ μῦθος πρὸς τοὺς τῇ τῶν πλησίον διαφθονουμένους εὐημερίᾳ,
ἔσθ' ὅτε καὶ ὑπ' αὐτῶν ἐκείνων τὰ μέγιστα ὠφελουμένους.]

129 Ὄνον τις ἔτρεφε καὶ κυνίδιον ὡραῖον.
τὸ κυνίδιον δ' ἔχαιρε παῖζον εὐρύθμως,
τὸν δεσπότην τε ποικίλως περισκαῖρον·
κἀκεῖνος ⟨αὖ⟩ κατεῖχεν αὐτὸ τοῖς κόλποις.
ὁ δ' ὄνος γ' ἔκαμνεν ἑσπέρης ἀλετρεύων
πυρὸν φίλης Δήμητρος, ἡμέρης δ' ὕλην
κατῆγ' ἀφ' ὕψους, ἐξ ἀγροῦ θ' ὅσων χρείη·
καὶ μὴν ἐν αὐλῇ παρὰ φάτναισι δεσμώτης

129, 4i = 76, 14 | 6 sq. cf. 76, 6 | 8e = 191, 12. 97, 8

128, 11 εἰ μὶ V | μέσοισιπωλεύμην V, μέσοις ἐπ- plerique || 12 αὔφθονον V; Xen.: οὐδ' ἂν νέμεσθαι δύναισθε, φοβούμεναι μὴ ἀπόλησθε: fortasse aliquid excidit, nam parum placent emendationes ἀθόρυβον, ἔκφοβοι | δὲ del. Eb || 13 περιτρέχουσα δ' ἐγὼ πάντοθεν κ. V, corr. Schnr || Epim. εὐημερίαν V | ἔστιν ὅτε V, corr. Cr; ἐστίν, ὅτε plerique | ὠφελουμένων V, corr. Cr; ὠφελοῦνται plerique

129 (Eb 132 Knoche p. 110) V 137 (Kn p. 684, Fur. 367), sim. $A^u$ 42; cf. Galen. XVIII 1 p. 291 K., Corp. paroemiogr. I p. 439 || 1 Ὄνον ἔτρεφέν τις Eb | πάνυ ὡραῖον V, corr. Buttmann; in fine Μελιταῖον olim fuisse (Lm) probabile est, cf. $A^u$ paroem. Galen. | In V sequuntur v. 8. 9 a Lm transpositi || 2 χάριν ὃν εὐρύθμους π., em. Knoche Nck || 3 περισκέρον V || 4 ἐκεῖνος δ' αὐτὸ κατέχων ἐν τ. κ. V, corr. Schndr, Lm, cf. 76, 14 || post 4 lac.? cf. v. 11. 9 || 5 ὁ δὲ γε ὄνος τὴν μὲν νύκτα λατρεύων V, ἀλετρεύων Bgk Phil. XLVII 396 Rth; corr. Cr coll. 19, $6^a$. 9, 5. 83, 2 (prol.) || 6 ἡμέρας V || 7 ἦγεν V, correxerunt Schneideri; ἠγέν τ' Sdl | ἐφ' V, corr. Fur. | δ' ὅσον V, corr. I. G. Schneider | χρεία V || 8. 9 post v. 1 Vat. || 8 καὶ ἣν V, corr. Gb, cf. 125, 5; καὶ στὰς Eb | φάτναις A, corr. Schneideri; de φᾰτν- non dubitandum

*ἔτρωγε κριθὰς χόρτον, ὥσπερ εἰώθει.*
*δηχθεὶς δὲ θυμῷ καὶ περισσὸν οἰμώξας,*
*σκύμνον θεωρῶν ἁβρότητι σὺν πάσῃ,*
*φάτνης ὀνείης δεσμὰ καὶ κάλους ῥήξας*
*ἐς μέσσον αὐλῆς ἦλθεν ἄμετρα λακτίζων.*
*σαίνων δ' ὁποῖα καὶ θέλων περισκαίρειν,*
*τὴν μὲν τράπεζαν ἔθλασ' ἐς μέσον βάλλων*
*ἅπαντα δ' εὐθὺς ἠλόησε τὰ σκεύη·*
*δειπνοῦντα δ' ἰθὺς ἦλθε δεσπότην κύσσων,*
*νώτοις ἐπεμβάς· ἐσχάτου δὲ κινδύνου*
*θεράποντες ἐν μέσοισιν ὡς ⟨τὸν ἄνδρ'⟩ εἶδον,*
*ἐσάωσαν ⟨αὐτὸν ἐξ ὄνου γνάθων ὄντως⟩·*
*κρανέης δὲ κορύναις ἄλλος ἄλλοθεν κρούων*
*ἔθεινον, ὥστε καὐτὸς ὕστατ' ἐκπνείων*
*„ἔτλην" ἔλεξεν „οἷα χρή με, δυσδαίμων·*
*τί γὰρ παρ' οὐρήεσσιν οὐκ ἐπωλεύμην,*
*βαιῷ δ' ὁ μέλεος κυνιδίῳ παρισούμην;*

[*Ὅτι οὐ πάντες πρὸς πάντα ἴσοι πεφύκασι, κἂν φθόνῳ ἀλαζονεύωνται.*]

---

**129,** 9me = 19, 9 cf. 55, 6 | 16m cf. 26, 8 | 21m = 85, 12

---

**129,** 9 *κριθῆς* Lm, *χόρτον* ad praed. ‖ 10 *δαχθεὶς* V ‖ 11 *ἐν ἁβρότητι π.* V, corr. Nck, num *-σιν ἐν -αις*? ‖ 13 *ἐς μέσον* V, corr. I. G. Schnr | *εἰς* Rth | *ἦλθ'* V ‖ 15 *ἐς μέσον βαλὼν θλάσεν* V, corr. Eb | *εἰς* Rth ‖ 16 *εὐθεὶς* V ‖ 17 *ἰθὺς* Cr (95, 42), *εὐθὺς* V; num *δ. δὲ τέλος*? cf. 15, 5; *δ' ἐγγὺς* Lm ‖ *κρούσσων* V ex 21, corr. Lm ‖ 19 *θ. ἐν μέσοις* (!) *ἔσωσαν ὡς εἶδον* GbRth | *μέσοισιν* V, suppl. Mekler, *-σι τοῦτον* Lm ‖ 20 oppressit diasceuasta, quae non satis intellexit; Babrium, ut 16, 6 *λύκος χανὼν ὄντως* (94, 8), proverbio aliquo lusisse suspicor; in mentem mihi venit *ὄνου γνάθος* et *ἐκ λύκου στόματος*, cf. etiam *ὄνου παρακύψεως* ‖ 21 *κρανάης* V, corr. Lm ‖ 22 *ὡς δέ* V, corr. Eb coll. 26, 6. 51, 4; *ὡς δὴ* Lm | *ἐκπνέων* V, corr. Lm ‖ 23 *χρῆν*? ‖ 24 *οὐρήεσιν* et *ἐπολεύμην* V ‖ Epim. V, sim. A[u] | Choliambum nimis barbarum ex verbis *οὐ — πεφύκασι* effecit Gb

**130** *Πάγης ἀλώπηξ οὐκ ἄπωθεν ἑστῶσα*
*βουλὰς ἐκίνει ποικίλας, τί ποιήσει.*
*λύκος δὲ ταύτην πλησίος θεωρήσας*
*ἐγγὺς προσελθὼν τὸ κρέας λαβεῖν ᾔτει.*
*ἡ δ' εἶπεν· „ἧκε τῇδε καὶ δέχου χαίρων.* 6
*φίλος γάρ εἶ μοι τῶν ἄγαν ἀναγκαίων.“* 5
*ὃ δ' ἀθρόως ἐπῆλθεν· ὡς δὲ προσκύψας* 7
*τὸ σκυτάλιον ⟨τ'⟩ ἔσεισε καὶ χαλασθείσης*
*ῥάβδου μέτωπα σύν τε ῥῖνας ἐπλήγη,*
*„ἀλλ' εἰ τοιαῦτα“ φησί „τοῖς φίλοις δώσεις*
*τὰ δῶρα, πῶς σοί τις φίλος συναντήσει;“*

**131** *Νέος ἐν κύβοισιν οὐσίην ἀναλώσας*
*στολὴν ἑαυτῷ κατέλιπεν μίαν ⟨μούνην⟩,*

---

**130,** 1me = 1, 2; cf. 105, 3. 20, 50 etc. | 2e = 59, 2 | 4im = 52, 4. e cf. 94, 5 | 5e cf. 6, 4. 45, 2 | 7e = 121, 8 | 9m = 15, 7 | 10 cf. 214, 6 ‖ **131,** 1e = 34, 12

---

**130** V 9 (Kn p. 685, Eberhard anal. Babr. p. 178, Cr ann. 127, 227 sq.) ‖ 1 *ἀλώπηξ πάγης* V | *ἄποθεν* V | Initium contractum? Cr ann. p. 228; *εἰστήκει βουλάς ⟨τ'⟩* Eb ‖ 2 *πικήλας* V ‖ 3 *πλησίον* V inepte, cf. 4, corr. Cr; *κνηκίης*? Cr coll. 113, 2. 122, 12 ‖ 4 *ἐγγεὶς* V teste Eb | *λαβεῖν* ipse V teste Eb ‖ 5. 6 transp. Gb Bgk Cr, cf. v. 10 sq. (cf. Phaedr. app. 30, 8) ‖ 5 *γὰρ εἰμὶ* V ceterique, sed cf. 95, 3 | *ἀναγγαίων* V ‖ 7 *ἀτρόμως* Kn, cf. Cr p. 229[10] | *ὥστε* Hartel ‖ 8 *τὴν σκύδαλιν ἔσισε* V, corr. Cr; coll. Hes. s. v. *κυνδάλη . . . κυνδάλας τὰς σκυτάλας ἀπέδοσαν* = Poll. X 188. IX 120 (ubi corr. *κυνδάλας γὰρ*) possis *τὴν κυνδάλην*; *τὴν σκανδάλην* coll. Alciphr. III 22 Cr ann. 229; *τήν τε σκυταλίδ'* et quae sunt similia ab arte Babrii aliena, potest *τὴν σκύταλιν ⟨ἐξ⟩έσ.* | cf. Archil. 90 p. 410. 439 Bgk ‖ 9 *ῥάνδου μέτοπα συντέρινας* V ‖ 10 *ἀλλητοι ἄντα φ. τοῖς φίλοις δίδως* V (teste Eb), corr. Kn; *εἰ σὺ ταῦτα* Eb ‖ 11 *συναντίσει* V

**131** V 130 (Kn p. 686, Eb anal. p. 179); tetr. II 4, v. 7 Suid.; sim. F 123, Pr 166 p. 46 St.; cf. Alciphr. ep. 42 p. 80 H. E prov. *μία χελιδὼν κτλ.* ‖ 1 *νέον εν* V, *νέος* Kn | *κύβοισ οὖσιν* V, corr. Kn ‖ 2 *μίαν καταλελοίπει* V, corr. suppl. Kn, nisi quod praeter necessitudinem *μίην* proposuit, cf. 47, 8; *ἱματίου καὶ* (= *δὲ*) *μόνου* F

χειμῶνος ὄντος μὴ πάθοι τι ῥιγώσας.
ἀλλ' αὐτὸν ἡ χεὶρ ἐξέδυσε καὶ ταύτης.
πρὸ γὰρ εἴαρος λιποῦσα ⟨τὰς⟩ κάτω Θήβας
ἐφάνη χελιδὼν ἐκπεσοῦσα τῆς ὥρης·
ταύτης ἀκούσας μικρὰ τιττυβιζούσης
„τί μοι περισσῶν“ εἶπε „φαρέων χρείη;
ἰδοὺ χελιδὼν ἥδε· καῦμα σημαίνει.“
ὡς δ' εἶπεν, ἐλθὼν τοῖς κύβοισιν ὡμίλει
καὶ σμικρὰ παίξας τὴν στολὴν ἐνικήθη.
νιφετὸς δ' ἐπῆλθε καὶ χάλαζα φρικώδης,
κροκύδος δὲ καινῆς πᾶσιν ἦν τότε χρείη.
γυμνὸς δ' ἐκεῖνος τῆς θύρης ὑπεκκύψας
καὶ τὴν λάλον χελιδόν' ⟨αὖ⟩ κατοπτεύσας
πεσοῦσαν ὥσπερ στρουθίον ⟨τι⟩ τῷ ψύχει

**131,** 6 me = 12, 4 | 7 im cf. 73, 2 | 8 cf. 115, 12 | 10 cf. 7, 4 | i cf. 95, 36 | 11 me = 134, 8

**131,** 3 *χειμῶ* V || 4 *ἡ χεὶρ* V = *manus* in ludo talario Cr ann. p. 231 coll. Suet. Aug. 71; *ὁ Μεχεὶρ* Bgk, *ἡ Κὴρ* Mekler, *ἠθμὸς* Gb, *ὁ χρόνος* Rth || 5 *εἴαρος γὰρ* V | *κάτω* = *meridiem versus sitas*, cf. Herod. I 142; *ἄνω* ex Her. III 10 ne corrigas || 6 *ἐκπ. τ. ὤ.* = *παρὰ καιρόν* (F), alia notione verbis usus est 12, 4 || 7 cf. Suid. s. *τιττυβίζετε· . . . καὶ Βάβριος ἐπὶ χελιδόνος· ταύτης κτλ.* | *τιττυβεζούσης* V || 8 *ἐσθήτων* V, em. Cr, *ἐσθέων* (*εἱμάτων*) Kn | *χρεῖα* V || 9 *ἰδοῦ* V | interp. Bgk, nisi fuit *χ. τὸ θέρος* (cf. 24, 1. 136, 2. 5) *ἧδε*, nam dodecasyllabos fecit diasceuasta || 10 *ὡς εἶπεν, ἐλθὼν δ' αὖ*? Cr coll. 95, 36 || 11 *ἐνικήθει* V, cf. Suet. l. s. || 12 *φρικώδεις* V || 13 *καινῆς* V, *χλαίνης* vel *πυκνῆς* Eb, cf. prov. Coisl. 119 app. II 3 Gott. | *τότ' ⟨αὖ⟩* Eb || 14 *θύρας ὑπεκύψας* V || 15 *καὶ κατοπτεύσας τὴν λ. χ.* V, em Kn Spp, *τὴν χελιδόν' ἄλαλον*? Cr ann. p. 232 || 16 *ὑπὸ τοῦ κρύους π. ὡς στρ.* V (dodecasyllabus), rest. Kn, cf. 18, 10. 74, 1, del Rth.; de imagine, quam coniecturis (*ὡσπερεὶ στρόμβον* Gb, cf. Sauppe G. Anz. 1879, 1577) vexaverunt, cf. Cr ann. p. 232 (Aristot. Pseudep. p. 291 R.)

„τάλαινα“ φησίν, „εἴθε μοι τότ' οὐκ ὤφθης·
ὡς γὰρ σεαυτὴν κἀμὲ νῦν διεψεύσω.“

[Ὅτι συνήθεια κακὴ πολλῶν κακῶν αἰτία γέγονε πολλοῖς, ὁμοίως καὶ ⟨τὸ⟩ τοῖς ψευδολόγοις πιστεύειν ἀνθρώποις· δεῖ οὖν ἡμᾶς ἀσφαλίσασθαι.]

**132** Ὄϊς μονήρη λύκον ἔφευγεν ἐξαίφνης
ἰδοῦσα, σηκοῦ δ' ἐντὸς ἦλθεν ἀκλείστου·
θυσίη γὰρ ἦν τις κατὰ τύχην ἑορταίη.
ὁ λύκος δ' ἔσω μὲν οὐ παρῆλθε τοῦ τείχους,
ἔξω δ' ἐφεστὼς τὴν ὄϊν καθωμίλει
„ὁρᾷς“ λέγων „τὸν βωμὸν αἵματος πλήρη;
ἔξελθε, μή τις συλλάβῃ σε καὶ θύσῃ.“
ἡ δ' εἶπε „μή μου τῆς ἀσυλίης κήδου·
καλῶς ἔχει μοι· κἂν δὲ τοῦτο συμβαίνῃ,
θεοῦ γενοίμην σφάγιον ἢ λύκου θοίνη.“

[Ὅτι ταῖς τῶν δολερῶν ἀνδρῶν κακοβουλίαις μὴ πιστευτέον προορωμένους τὸν τούτων δόλον, κἂν χρηστολογίαις ἀπατᾶν βουληθῶσιν.]

**133** Ὄνος παλιούρων ἤσθι' ὀξέην χαίτην.
τὸν δ' εἶδ' ἀλώπηξ, καγχάσασα δ' εἰρήκει·

---

**132,** 4 me cf. 2, 7 | 6 me = 37, 8. 31, 2 | 7 cf. 199, 1 | 9 e = 117, 5. 171, 8 | 10 e cf. 44, 6 ‖ **133,** 1 e cf. 82, 1 | 2 i cf. 17, 3

---

**131,** 17 τ. εἶπεν V, corr. Eb Nck | τότε οὐκ V teste Eb | μήποτ' εἰσώφθης Nck ‖ 18 ὡς ipse V (Eb), ὧς plerique | Epim. πολῶν V | τὸ add. Eb

**132** V 135 (Kn p. 687, Eb anal. p. 181), Avian. 42; F 107; app. prov. I 18 contulit Cr ann. p. 232 ‖ 1 μονήρη V (Bgk), -ης Kn ‖ 3 θυσία γὰρ ἦν τὶς ἑορτῆς κατὰ τύχην, corr. Nck (ἑορτώδης?), sed locus diasceuastae manus passus est ‖ 5 καθομίλει V ‖ 6 ὁρὰς V | πλήρης V ‖ 7 θύσει V ‖ 8 ἢ δ' V | ἀσυλίας V | κῆν? Cr | συμβαίη V ‖ Epim. χρηστολογί(= ίας) V

**133** V 142 (Kn. p. 687, Eb Anal. p. 181); B 108 P[1] 66; decurtata? ‖ 1 παλλιούρων ἤσθιεν ὀξείην V: anapaestus nominum pr. excusationem habet, nisi ι vocalis synizesin admisit, cf. 69, 2 ‖ 2 εἶδεν V | ἁρπάσασα δ' V, καγχάσασα Eb Bgk Cr

„πῶς, οὗτος, ἁπαλῇ κἀξανειμένῃ γλώσσῃ
σκληρὸν μαλάσσεις προσφάγημα καὶ τρώγεις;“
['Ο μῦθος πρὸς τοὺς σκληροὺς καὶ ἐπικινδύνους προσφέροντας διὰ γλώσσης λόγους.]

134 Οὐρή ποτ' ὄφεως οὐκέτ' ἠξίου πρώτην
κεφαλὴν βαδίζειν οὐδ' ἐφείπεθ' ἑρπούσῃ·
„κἀγὼ γὰρ“ εἶπεν „ἐν μέρει προηγοίμην.“
τὰ λοιπὰ μέρεα δ' εἶπεν· „ἦ σύ γ' ἡγήσῃ;
πῶς, ὦ τάλαινα, χωρὶς ὀμμάτων ἥμας
ἢ ῥινὸς ἄξεις, οἷς ἕκαστα τῶν ζῴων
τὰ πορευτὰ βαίνει πάντα πόδα ⟨τ' ἐπ⟩ευθύνει;“
τὴν δ' οὐκ ἔπειθε, τὸ φρονοῦν δ' ἐνικήθη
τῷ μὴ φρονοῦντι· λοιπὸν ἦρχε τῶν πρώτων
τὤπισθεν, οὐρὴ δ' ἡγεμὼν καθειστήκει
σύρουσα τυφλῇ πᾶν τὸ σῶμα κινήσει·
κοιλὸν δὲ πέτρης εἰς βάραθρον ἠνέχθη

---

**134,** 1e = 67, 5 | 3m = 32, 5 | 6e = pr. I 6. 1, 2 | 8e = 131, 11 | 9e = 66, 1 | 12e = 57, 12

---

**133,** 3 *πῶς οὗτως* (sic) *ἁπαλῇ καὶ ἀνειμένῃ γλώσσῃ* V, correxi interim coll. 49, 3, sed diasceuasta locum vitiasse videtur | *μαλάσσει* V, em. Bgk, *μαλάσσῃ* Kn | Epim. *δια γλώσης* V ‖ Fabula *παροιμία ἐξηπλωμένη*, cf. mus. Rhen. XLVI, 319 sq.

**134** V 164 (Kn p. 687, Eb anal. p. 181); B 116 $P^1$ 69; de paraphrasi talmudica cf. Königsberger *Zeitschr. d. Ver. f. Volksk.* VI 150; v. 10 sq. respexit Libanius *π. τ. ἑ. τύχης* p. 8 R., v. test. 7. Cf. Cr ann. p. 233 ‖ 1 *οὐρὰ πότ'* V | *οὐκ ἐτιξίον* V ‖ 4 *δὲ μέρη* V, corr. Cr, *γυῖα δ'* Cr p. 233 coll. 95, 2. 102, 7, *δὲ μέλε'* Eb ex B* | *ἤ σύγ'* Eb, *οὐχ* V; *οὐδὲν* (Gb) non Babrianum | *ἡγήσει* V, *ὑφηγήσῃ* Kn, *ὁδηγήσεις* Bgk ‖ 5 *ὦ* V, *γὰρ* Kn; ⟨*δ'*⟩ *ὦ*? | *ἡμᾶς* V | 6 *καὶ ῥινὸς* B*Nck | *ἄξεις* B, *ἕξεις* V | *ζώων* V ‖ 7 *παντάποδ'* V, corr. Cr *πᾶν τε* ⟨*τὸν*⟩ Spp, *πᾶν τε κῶλον* Nck, *κἄντα πόδας*? audacius Bgk, cf. prol. p. LII ‖ post v. 8. 9. 10 interpunctionem sustulit Cr ‖ 9 *τὸ μὴ φρονοῦν δὲ λ. ἤ. τ. πρ.* V, corr. Cr ‖ 10 *τὰ δ' ὄπισθεν οὐρῆς* V perinepte, corr. Cr coll. 99, 4. 106, 25 | *καθηστήκει* V ‖ Post 11 interpunxit Cr ‖ 12 *δὲ* V, *τι* Kn

*καὶ τὴν ἄκανθαν ταῖς πέτραισι συντρίβει.*
*σαίνουσα δ' ἱκέτευεν ἡ πρὶν αὐθάδης·*
*„δέσποινα κεφαλή, σῶσον, εἰ θέλεις, ἥμας·*
*κακῆς γὰρ ἔριδος σὺν κακοῖς ἐπειράθην·*
*εἰς πρῶτον οὖν μᾶλλόν με ⟨σοὶ⟩ καθιστάσῃ*
*ἐγὼ προσέξω“, φησί „μή ποτ' ἀρχούσης*
*ἐμοῦ τι δόξῃς ὕστερον κακῶν κύρειν.“*

[*Ὁ μῦθος διαβάλλει ἄνδρας ἀναισθήτους ⟨πρὸς⟩ τοὺς ἰδίους δεσπότας ἐπεγειρομένους καὶ τὴν ἰδίαν τάξιν ἀγνοεῖν βουλομένους κἀντεῦθεν ὄλεθρον ἑαυτοῖς καὶ τοῖς πέλας ἐπιφέροντας.*]

**135** *Πέρδικά τις πριάμενος ἐντρέχειν οἴκῳ*
*ἀφῆκεν· ἡδέως γὰρ εἶχε τοῦ ζῴου.*
**163,** 5 sq. = 139, 3. 7

---

**162,** 3 *φέρει* B ‖ 6 *ἀφεὶς ἔφη· „ὦ ὄνε, νίκα, κακὴν γὰρ νίκην νικᾷς“* F ‖ Exitus esse poterat (cf. 18, 6): *ὄνος οὐ μεθῆκεν· ὃ δ' ἔτι μᾶλλον ὠθήσας* ⁞ *⟨„εἰς κόρακας“⟩ εἶπε „⟨μοῦνος⟩ ὕπαγε καὶ νίκα* ⁞ *κακὴν ⟨σεαυτῷ συντριβεὶς πέτραις⟩ νίκην.*
B 108 = fab. 133

**163** (Eb 129) B 109 M 46 P[1] 65 Nev. 261 Cor. 257; F Fur. 135 paraphrasis liberior, cf. tetrast. I 36; v. 1 Suid. Cf. Philol. LIV 488 ‖ 1 *Ὄνος τίς* BP[1] | *ἦγε* (om. *κ.*) B*, *εἶχε κωμήτης* S s. *κωμῆται* ‖ 2 *πολλοὶ ἀπαντῶντες* [vox non Babriana] *πρ.* M ‖ 3 *αὐτὸν* Cor., *αὑτὸν* B, *αὐτῷ* MP[1]; bene F: *ἀναπτερωθεὶς ὠγκᾶτο καὶ οὐκέτι περαιτέρω προβαίνειν ἐβούλετο* ‖ 5 *θεὸν αὐτὸν ῥίψαι* M, *ῥίψαι* etiam BP[1] ‖ 6 *ξύλοις* B*, cf. l. s. ‖ 7 *φέρων, οὐ θ. ὁμότιμος* B, *φ., ἀλλ' οὐ θεοῖς ὑπάρχεις ὁ.* MP[1]; corr. Lewis (cf. 15, 11): num *θεῶν ἧλιξ?* ‖ v. 3 sqq. fuit fortasse: *ὁ δ' ὄνος νομίζων αὐτὸν προσκυνεῖν τούτους* ⁞ *⟨δόξῃ τοσαύτῃ καρδίην⟩ ἐτυφώθη,* ⁞ *σκιρτῶν τ' ἔ. τ. θ. κ.* vel *⟨χαμαὶ⟩ ῥ.* ⁞ *ὁ δεσπότης δέ φησι τῷ ξύλῳ παίων κτλ.* Cf. 101, 3. 6 ‖ Epim. *τυφωμένους* B, *τυφομένους* P[1] | *ὁ λόγος* P[1]

**164** *Ὅτε δρῦς ἔφυεν ἰξόν, ὀρνέων λύμην,*
*ἡ φρονιμωτάτη χελιδὼν εἶπε πᾶσιν ὀρνέοις τοῦτο κωλύσειν* (e).
*τὰ δ' ὡς φρονοῦσαν οὐδὲν ⟨ἠμέλει⟩ ταύτην*
*[παρελογίσαντο καὶ ἠμέλησαν].*
*τότε ⟨δ'⟩ἡ χελιδὼν ἱκέτευεν [τοὺς] ἀνθρώπους*
*σύνοικον αὐτὴν*
*εἰσδέξασθαι. διὰ τοῦτο μόνης αὐτῆς τοῖς πτεροῖς ἰξὸς οὐδέποτε ἐκολλήθη* (e?).

**165** *Οὔπω κολυμβᾶν παῖς μαθὼν ⟨θέρους ὥρῃ⟩*
*ποταμὸν διειδῆ καὶ καλὸν θεωρήσας*
*ἔρριψ' ἑαυτὸν γυμνὸν ὡς κολυμβήσων.*
*τὸ ῥεῦμα δ' αὐτὸν ⟨καὐτὸ⟩ τὸ βάθος οὐκ εἴα*
*στῆναι· τὸ δὲ βουκόλον ἐφώνει ἀπὸ τῆς ὄχθης τὰς χεῖρας ἐκτείνειν* (e?). *ὃ δὲ τολμηρὸν ἐκάλει καὶ οὐκ ἐδίδου χεῖρα.*

---

**164,** 6 cf. 12, 11. 118, 1 ‖ **165,** 2e = 43, 3. 88, 14 | 4e = 31, 18

---

B 110 = fab. 137. 111 = 121. 112 = 123. 113 = 120

**164** B 114; liberius A[u] 39, ceteri a Babrio alieni, cf. Rom. I 19 Ö., Phaedr. app. II 11 Dr. = vol. II² p. 138. 203. 251 Herv. In B praemissum est *ὅμοιον* promythii loco, sed aliena B 113 ‖ 1 *ἰξὸν ἔφυε βλάβην ὀρνέων*, coll. 51, 5 e Suid. Hes. *λύμη· βλάβη* rest. Cr; *ὀρνέων λώβην* Eb; vix potest *ὄλεθρον ὀρνίθων* (32, 5. 72, 7), nam *θρ* correptum haud invenies ‖ 2 fuitne *πᾶσιν χελιδὼν εἶπε τοῦτο κωλύσειν*? ‖ 3 *δὲ* B | *οὐδὲν φρ.* B ‖ 5 *δὴ* et *ἱκέτευεν* Eb, *ἱκέτευσε* B ‖ 6 coll. 12, 12 conicias: *σύνοικον αὐτὴν ⟨καὶ φίλην κατοικίζειν⟩.* ¦ *διὰ τοῦτο ⟨δὴ καὶ⟩ τῆς χελιδόνος μούνης* ¦ *πτεροῖσιν ἰξὸς οὐδαμῶς ἐκολλήθη*. Pleniorem et meliorem fabulam 'Aesopo' usus servavit Dio Chrys. XII 7 p. 373 R. LXXII vol. II p. 387 R. Epimythia satis inepta.

**165** B 115 ‖ 1 *μειράκιον μαθεῖν* B (*-ὸν* Kn), *παῖς μαθὼν* Cr, nam *μεῖραξ* et *-άκιον* voces non Babrianae | suppl. Cr coll. 24, 1 sq. ‖ 2 *διηδῆ* B, scripseratne *διαυγῆ*, ut 72, 6? | *καὶ θεωρῆσαν καλὸν* B ‖ 3 *ἔρριψεν* B, num *ἔρριψεν αὐτὸν*? | *ἐγκολυμβήσων*? ‖ 4 *δὲ αὐτῷ καὶ τὸ βάθος* B ‖ 5 *τὸ*, sc. *μειράκιον*, cf. v. 1 adn. ‖ 6 *ἐκτεῖνον* B, corr. Kn

*τὸ δὲ εἶπεν· „ἄρτι μοι βοήθει· ἕξεις δὲ καιρὸν ἐλέγχειν ὅτε σώσεις με.“*

*[Ὅτι τοὺς ἐν κινδύνοις ἀπείρως ἐμπεσόντας δεῖ πρότερον σώζειν, ἔπειτα διδάσκειν καὶ νουθετεῖν.]*

**166** *Οὔπω χαλινὸν ἵππος ⟨ἱππέως⟩ ᾔδει*

*οὐδὲ νῶτον ἀνθρώπῳ* (e) *παρεῖχε πρὸς καθέδραν. σῦς δὲ αὐτὸν ἄγριος* (i?) *ἔβλαπτε τὴν χλόην ἣν ἐνέμετο κόπτων* (e?) *καὶ κατορύσσων καὶ τὸ*

*ὕδωρ ταράσσων ἔνθα*† *ἔπινε.*

*διὰ τοῦτο ὅμουρος ἵππος πρὸς ἄμυναν τοῦ ἠδικηκότος συὸς διεγερθεὶς φιλίαν ἐσπείσατο μετὰ ἀνδρὸς ποικίλου· βοηθεῖν δὲ ἔλεγεν αὐτῷ καὶ ἐκδικήσειν κατὰ τοῦ βλάπτοντος ἐχθροῦ. ὃ δὲ εἶπεν· „ὅρκῳ πίστωσόν με, ὃ λέγω σοι, ποιήσειν* (e?). *ὁ δὲ ἵππος ἐπείσθη. ὃ δὲ εἶπεν· „οὐ δυνατόν με πεζὸν ὄντα καταπολεμῆσαι τοῦτον· ἀλλ' ἐὰν χαλινὸν δέξῃ* (e?)

*καὶ τοῖς* †*νώτοις* [*σου*] *βαστάσῃς* †*καὶ δῷς*
*ὅπως σε κάμπτω καὶ τρέχοντα κωλύω*

*ἐλπίζω τότε*

---

**166,** 3 sq. cf. 89, 6 sqq. | 7 cf. 98, 18 | 12 cf. 111, 20

---

**165,** 9 *ὅταν σώσῃς με* Kn ‖ 5 sqq. coll. 107, 2. 96, 15. 126, 7 scribas: *στῆναι ⟨'πὶ ποσσί, κἀγγὺς ὢν μόρου τλήμων⟩ ⁞ ⟨τοιαῦτ'⟩ ἐφώνει βουκόλον θεωρήσας· ⁞ „⟨σῶσον⟩ μ' ἀπ' ὄχθης χεῖρα ⟨μοῦνον⟩ ἐκτείνων.“ ⁞ ὃ δ' ὡς θρασὺν καλεῖ τε κοὐ 'δίδου χεῖρα, ⁞ παῖς „νῦν βοήθει“ φησίν „ἄρτι μοι· σώσας ⁞ ἕξεις ἐλέγχειν καιρὸν ⟨ὅσσα βουλήσῃ⟩.“* ‖ Epim. = prom. B; versuum vestigia pellucent.

B 116 = fab. 134

**166** (Eb 179) B 117 tetrast. I 53. Fabula Philisti qua Stesichorus usus esse dicebatur (Theo prog. 2 Aristot. rhet. II 20, PL. III p. 233 Bgk; Cr p. 225) ‖ 3 *κατωρρύσσων* B ‖ 5 *ἔνθ'*? *ἔνθεν* Hartel; fuitne *ἧς ἔ.* ⟨*τῆς κρήνης*⟩, cf. 89, 8? ‖ 6 *ὅμωρος* B, *ὅμορος* Kn; ionismum restitui ‖ 12 *με* post *καὶ* add. Hartel ‖ 13 *κάμψω* et *κωλύσω* Gb

*τὸν σῦν εὐκόλως ἀναιρήσειν.*

*ὁ δὲ ἵππος ὑπὸ ὀργῆς τὰς φρένας τυφλωθείς, παρέδωκεν ἑαυτὸν καὶ*

*ὑπὸ τοῦ δοκοῦντος ὠφελεῖν ἐχειρώθη.*

*[Ὅτι θυμὸς οἶδεν δουλῶσαι καὶ ταπεινῶσαι ἄνδρα γενναῖον καὶ πρὸς ἄμυναν γενέσθαι τοῦ ἠδικηκότος.]*

**167** *Ὄφις γεωργοῦ πρὸς θύραισι φωλεύων*
*ἀνεῖλεν αὐτοῦ παῖδα νήπιον τύψας.*

*πένθος δὲ μέγα τοῖς γονεῦσιν ἐγένετο· ὁ πατὴρ δὲ πληγεὶς ὑπὸ τῆς λύπης* (e) *πέλεκυν λαβὼν ἔμελλε τὸν ὄφιν τῆς τρώγλης* (e) *ἐξιόντα πατάξειν· ὡς δ' ἐξέκυψε* (i) *μικρὸν σπεύσας* (e) *ὁ γεωργὸς τοῦ πλῆξαι* (e) *ἠστόχησε, τὴν πέτραν δὲ*

---

167, 1e = 108, 2

---

**166** Versus 15. 18 indicavit Kn ann. Austr. 1876, sed tota fere fabula facili negotio redintegrari potest: 2 *οὐδ' ὡς ἔδος παρεῖχε νῶτον ἀνθρώπῳ.* ⋮ *σῦς δ' αὐτὸν ἄγριός ⟨τις ὥπερ ἦν γείτων⟩* ⋮ *ἔβλαπτεν ἣν ἐνέμετο τὴν χλόην κόπτων* ⋮ *χὔδωρ ταράσσων ἧς ἔπινε ⟨τῆς κρήνης⟩.* ⋮ *διὰ τοῦθ' ὅμουρος ἵππος ⟨ὡς ἐλυπήθη⟩,* ⋮ *φιλίην ἐσπείσατ' ἀνδρὶ ποικίλῳ ⟨γνώμην⟩,* ⋮ *αὐτῷ βοηθεῖν καὶ ⟨δίκας ἀναπράσσειν⟩ . .* ⋮ *ὃ δ' εἶπεν „ὄμνυ' ὅσα λέγω γε ποιήσειν".* ⋮ *ἵππος δ' ἐπείσθη. ὁ δὲ ⟨γέρων βαθυγνώμων⟩* ⋮ *„οὐ δυνατόν" εἶπε „πεζὸν ὄντ' ἐνεδρεύειν* ⋮ *⟨κάπρον ταχύν⟩. χαλινὸν ἀλλ' ἐὰν δέξῃ* ⋮ *καὶ τοῖς με νώτοις βαστάσῃς, διδοὺς ⟨τούτῳ⟩* ⋮ *ὅπως σε κάμπτω καὶ τρέχοντα κωλύω,* ⋮ *τὸν σῦν δοκῶ τότ' εὐκόλως ἀναιρήσειν."* ⋮ *ἵππος δ' ὑπ' ὀργῆς καρδίην ἐτυφλώθη·* ⋮ *παρέδωκεν αὐτὸν ⟨ἀνδρὶ καὶ τάλας οὕτως⟩ κτλ.* Cf. Bgk prol. p. LXXXVII ‖ Epim. *καὶ — ἠδικηκότος* verba inepta del. Kn ut aliunde sumpta, perperam, cf. v. 6. 7

**167** (Eb 153) B 118 M 42 $P^1$ 70; tetrast. I 43; cf. $A^c$ fol. $37^b$ Cor. 141; etiam F Fur. 155 ad Babrii exemplar ficta est, sed gravius interpolata cf. Cr p. 220 sq. ‖ 1 *ἐν γεωργοῦ προθύροις* B M $P^1$ $A^c$, *γεωργοῦ προθύροις ἐμφωλεύων* F, rest. Zündel ‖ 2 *ἔδακε τὸν ποῦν τοῦ παιδίου κτλ.* F interpolatione, quae describere supersedeo ‖ 5 *πατάξαι* M | *ἐξελθόντα φονεύσειν* $A^c$ | *ἔκυψε* $A^c$ ‖ 6 *πατάξαι* $A^c$

*μόνην τῆς ὀπῆς κρούσας καὶ διαχαράξας, ἀπῆλθε λογιζόμενος ὡς ἑρπετὸν μῆνιν οὐ φυλάσσει. λαβὼν δὲ ἄρτον καὶ ἅλας πρὸς εἰρήνην ἐκάλει τὸν ὄφιν. ὁ ὄφις δὲ λεπτὸν συρίσας εἶπεν· „οὐκ ἔστιν ἡμῖν ἀπάρτι πίστις ἢ φιλία, ἕως ἂν ἐγὼ ταύτην τὴν πέτραν ὁρῶ, σὺ δὲ τὸν τοῦ παιδὸς τάφον.“*

*[Ὅτι οὐδεὶς μίσους ἢ ἀμύνης ποτὲ ἐπιλάθοιτο, ἐφ' ὅσον βλέπει μνημόσυνον δι' ὧν ἐλυπήθη.]*

**168** *Παῖς τις ἀκρίδας θηρεύων καὶ σκορπίον ἤμελλεν ἆραι ὡς γένος ἀκρίδος ὄντα. ὁ δὲ τὸ τοῦ παιδὸς ἁπλοῦν ἰδὼν*

*τοὐραῖον ἱστὰς καὶ τὸ κέντρον ὀξύνας*

---

**167,** 7 *μόνον* P$^{1}$ ‖ 7 sq. *μόνον κρούσας τὴν τῆς τρώγλης ὀπήν. ἀπελθόντος δὲ τοῦ ὄφεως* (inepte) *ὁ γεωργὸς νομίσας τὸν ὄφιν μηκέτι μνησικακεῖν λαβὼν ἄ. κ. ἅ. ἔθηκεν ἐν τῇ τρώγλῃ* A$^{c}$: ubi haud scio an lateant verba Babriana ‖ 8 *ἑρπετῶν* P$^{1}$ ‖ 9 sq. *ὁ δὲ ὄ. λ. συρίξας* A$^{c}$ ‖ 10 *ἔσται* A$^{c}$ | *τὸν τόπον τοῦ τέκνου* A$^{c}$ ‖ 11 *ἂν* om. M ‖ V. 3 sq. fere fuisse conicias: *πένθος δὲ πικρὸν τοῖς γονεῦσιν ⟨ἐμβάλλει⟩.* ⁞ *ὁ πατὴρ δὲ πέλεκυν ἔλαβεν ἐκπλαγεὶς λύπῃ* ⁞ *τὸν ὄφιν πατάξων ἐξιόντα τῆς τρώγλης·* ⁞ *ὡς δ' ἐξέκυψε μικρὸν ⟨τῆς ὀπῆς⟩, σπεύσας* ⁞ *ὁ γεωργὸς ⟨αὐτὸν⟩ ἠστόχησε τοῦ πλῆξαι,* ⁞ *πέτρην δὲ μούνην τῆς ὀπῆς ⟨κατα⟩κρούσας* ⁞ *ἀπῆλθε. νομίσας δ' ἑρπετὸν ⟨μακρὴν⟩ μῆνιν* ⁞ *οὐ διαφυλάξειν καὶ λαβὼν ἅλας κἄρτον* ⁞ *ἐνέθηκε τρώγλῃ κἀκάλει πρὸς εἰρήνην* ⁞ *τὸν ὄφιν. ὃ δ' αὐτῷ λεπτὸν εἶπε συρίσσας·* ⁞ *„φιλίη παρ' ἡμῖν οὐδὲ πίστις οὐκ ἔσται,* ⁞ *ἕως ἐγὼ ⟨μὲν⟩ τὴν πέτρην ὁρῶ ταύτην* ⁞ *σὺ δ', ⟨ὦ γεωργέ, τόνδε⟩ τὸν τάφον τέκνου.“* ‖ Prom. B = Epim. M P$^{1}$ A$^{c}$ | *οὐδεὶς ἂν* Kn | *ἐπιλάθηται* M, *ἐπιλανθάνεται* Cor.; fuit versus: *οὐδεὶς ἀμύνης ἐπιλάθοιτ' ἂν ἢ μίσους* ‖ *ἐφ' ᾧ βλέπει* P$^{1}$ ‖ *ἐν ᾧ ἐλυπ.* M

**168** (Eb 156) B 119 M 43 P$^{1}$ 71 = Nev. 267; tetrast. I 18; gemella fabula Hds.-Hauptm. 264$^{2}$ Cor. p. 174 (Hd). Etiam Dositheanam 10 p. 32 e Babrio haustam esse probabile atque quae dodecasyllabis coercita est F 171 (Cor. p. 393). Diversae A$^{u}$ 195 p. 100 Schn.; cf. Phaedr. II p. 230 Herv. (Rom. IV 14), paroemiogr. s. *ὑπὸ παντὶ λίθῳ*, Athen. XV 694 ‖ 1 sq. *παιδίον εἰς ὕλην ἀκρίδας θηρεύων* (sic) *ἐπεστάθη λίθῳ τινί, εἰς ὃν σκόρπιος ἐκρύβετο, ὃν ὁ παῖς ἐβιάζετο ἀντὶ ἀκρίδος ἐξελθεῖν* (cetera pretii nullius) Dositheus, *θηρεύων ἀκρίδας περιέτυχε σκορπίῳ· ὁ δὲ τὸ τ. π. ἁ. θεασάμενος τὸ κ. ὀ. εἶπεν· ἄπελθε παῖ καὶ σ.* (ultima fortasse praeferenda) Hd ‖ 4 *τὸ οὐραῖον στήσας* B*, corr. Cr

*εἶπεν· „ἄπελθε καὶ σώζου* (e), *ὦ παῖ, μὴ κἀμὲ θηρεύων καὶ πάσας ἃς ἔχεις ἀπολέσῃς.“*

[*Ὅτι καλὸν τὸ γινώσκειν τὰ ἐναντία καὶ τὸ μὲν καλὸν τιμᾶν, τὸ δὲ κακὸν φεύγειν* (e?), *ἐκ πείρας δὲ πάντων.*]

**169** *Παῖς τις νέμων πρόβατα συνεχῶς ἐπὶ τὸ χῶμα ἀνιὼν ἐβόα· „λύκος· βοηθεῖτε“* (e?).

*οἱ δ' ἀγρόται τρέχοντες*

*ἐκεῖσε εὕρισκον ψεῦσμα. τοῦ δὲ λύκου ἀληθῶς ἐλθόντος καὶ τοῦ παιδίου βοῶντος οὐδεὶς ἐπίστευσε καὶ ἀπῆλθε πρὸς βοήθειαν. ὁ δὲ λύκος τὰ πρόβατα διέφθειρε.*

[*Ὅτι τοῦτο ὄφελος τῷ ψεύστῃ* (e), *ἵνα κἂν ἀλήθειαν λέγῃ μὴ πιστεύηται.*]

**169ᵃ** *Παιδίον τὰ πρόβατα νέμον* ⟨*ὡς*⟩ *λύκον ἐρχόμενον πρὸς διαφθορὰν ὁρῶν, ἐπικαλούμενον τοὺς ἀγρότας ἔλεγε· „βοηθεῖτε ὧδε· ἔρχεται λύκος.*

*οἱ δ' ἀγρόται τρέχοντες*

*τοῦτον εὕρισκον μὴ ἀληθεύειν. τοῦτο δὲ ποιήσαντος πολλάκις εὕρισκον ψευδόμενον. μετὰ δὲ ταῦτα τοῦ λύκου προσελθόντος*

---

**168,** 5 *ὦ παῖ* om. P¹M ‖ 6 *πάντας οὓς ἔ. ἀ.* Hd | *ἀπολέσῃς* P¹, *ἀπολέσεις* B (-*ωλ*- M); *σεαυτὸν ἀπολέσῃς* Dosith. ‖ Possis: *παῖς ἀκρίδας τις ἐν νάπαισι θηρεύων* ┆ *καὶ σκορπίον λίθοισιν ὃς κατεκρύφθη* ┆ *ἤμελλεν ἆραι καθάπερ ἀκρίδων θήρην.* ┆ *τὸ δ' ἁπλοῦν ἰδὼν τοῦ παιδὸς* . . (4) . . *„ἄπελθε καὶ σῴζου“,* ┆ *ὁ σκορπίος „μὴ κἀμέ, παῖ, σὺ θηρεύων* ┆ *προσαπολέσῃς νῦν“ εἶπεν „ἃς ἔχεις πάσας“.* Cf. proleg. p. LXXXVIII Hexametris haec inclusa esse a Gitlbauero 278 vix credas ‖ Epim. 8 | *ἐκπειρᾶν* vel -*ᾶσθαι* Ml, *πάντα* M P¹

**169** B 120 P¹ 72; a Babrio aliena F Fur. 166 ‖ 2 *βοηθεῖται* B, *βοηθῆτε* P¹ ‖ 5 *ἐπίστευσεν ἀπελθεῖν πρ. β.* P¹ ‖ Prom. B = epim. P¹ | *ὤφελος* et *ψέστῃ* P¹, qualia enotare supersedeo.

**169ᵃ** Nev. 270 e Pal., Cor. 266. Versus dodecasyllabos dissolutos mihi videor audire ad Babrianorum exemplar barbara arte factos; lumina Babriana in utroque exemplari fere exstincta. V. 3 (4 sq.) fuerit *οἱ δ' ἀγρόται τρέχοντες οὐκ ἀληθεύειν* ┆ *ηὕρισκον αὐτόν.*

*καὶ τοῦ παιδὸς βοῶντος „δεῦτε, λύκος", οὐκέτι τις ἐπίστευε προσδραμεῖν αὐτῷ καὶ βοηθῆσαι· ὁ δὲ λύκος, εὑρηκὼς ἄδειαν, τὴν ποίμνην πᾶσαν διέφθειρεν εὐκόλως.*

[*Ὅτι τοσοῦτον ὄφελος τῷ ψεύστῃ ὅτι καὶ ἀληθῆ λέγων πολλάκις οὐ πιστεύεται.*]

**170** *Πηρὸν σπάλαξ ⟨πέφυκε⟩ καὶ τυφλὸν ζῷον·*

*εἷς οὖν τὴν μητέρα θέλων* (i) *φιλῆσαι ἀντὶ τοῦ στόματος τῷ αἰδοίῳ* (e?) *προσψαύει. τοῦτο δὲ ποιῶν τοὺς ἄλλους* (e?) *ἀδελφοὺς οὐκ ἔλαθεν. εἷς δὲ αὐτῶν εἶπεν· „ὡς θέλων τι μέγα ποιῆσαι καὶ πνοῆς ἧς εἶχες ἐστέρησαι δικαίως."*

[*Ὅτι πονηρὰ γνώμη καὶ αὐτὴν τὴν φύσιν ἀλλοιοῖ καὶ βλάπτει*(e?).]

**171** *Ποιμὴν σκύλακα εἴωθε τρέφειν ἐκ τῶν θνησκόντων προβάτων.*

*καὶ δή ποτ' ἐγγὺς ἀμνάδος νοσησάσης*
*ἱστάμενος εἶδε*
*τὸν κύνα κατηφῆ καὶ δοκοῦντα δακρύειν,*
*καὶ ὁμαλίζων αὐτὸν εἶπε·*

---

**170,** 1 cf. 157, 1 || **171,** 3i = 9, 2

---

**170** (Gb 162) B 121; a Babrio alienae A[c] Cor. 51, F Fur. 177, A[u] 210 P[r] 219 || 1 *πικρὸν* B, em. Kn | *ἀσπάλαξ* B || 4 *θέλοντι* B, em. Kn || Versus mihi audire videor hos fere: *εἷς οὖν θέλων τὴν μητέρ' ⟨ἀσκόπως⟩ κύσσαι ⁞ οὐ στόματος αὐτῆς, ἀλλὰ ⟨μᾶλλον⟩ αἰδοίου ⁞ ψαύει* || Epim. *ἀλλοιεῖ* B, corr. Kn || versum latere *γνώμη π. καὶ φύσιν μεταλλάττει* ci. Eb

B 122 = fab. 138

**171** (Eb 134, Gb 164) B 123 M 41 P[1] 74 = Nev. 277 Cor. p. 179; ceteri alieni a Babrio; v. 6 Suid.? || 1 *εἴωθεν* M || 3 *ποτε* BP[1] | *νοσούσης* BP[1], corr. Hp || 4 *ἱστάμενος* etiam P[1], -*ν* Nevel. || 6 *εἶπεν* P[1]

„*καλῶς ⟨σὺ⟩ ποιεῖς συμπαθῶν* ⏑ – – –,
*πλὴν ἀλλὰ μὴ γένοιτο μηδὲ συμβαίη,*
*ὅπερ θέλεις.*“

[*Ὅτι τοιοῦτός ἐστι πᾶς, ὃς κληρονόμος ἐστὶν οὐσίας τῷ νοσοῦντι συναλγῶν καὶ προσποιούμενος κλαίειν ὑπούλως.*]

## 172 *Ποταμὸς δι' αὑτοῦ*

*βύρσαν βοείαν φερομένην ἠρώτησε· „τίς καλεῖ;“ τῆς δὲ εἰπούσης „σκληρὴ καλοῦμαι“ ἐπικαχλάσας τῷ ῥεύματι εἶπεν·*
„*ἄλλο τι ζήτει* (e) *καλεῖσθαι·*
*ἐγὼ γὰρ [ἤδη] ἁπαλήν ⟨ἐν βραχεῖ⟩ σε ποιήσω.*“

[*Ὅτι τολμηρὸν ἄνδρα καὶ αὐθαδῆ πολλάκις εἰς γῆν κατήγαγε συμφορὰ βίου.*]

---

**171**, 8e cf. 132, 9. 117, 5 ‖ **172**, 2. 3 cf. 135, 6 | 5e = 109, 4 (95, 78)

---

**171**, 8 *γένηται* et *συμβῇ* BM$P^1$, corr. Kn ‖ 9 *ὅπερ καὶ* M | *ἐθέλεις* $P^1$ ‖ Totam fabulam restituere conatus est cum Hauptio Eberhard (Gb): *ποιμὴν σκύλακα τις ἔτρεφ' ἐκ κενεβρείων* ⁝ *καὶ δήποτ' κτλ.* (= 3) ⁝ *ἰδὼν κ. κτλ.* (= 5) ⁝ „*καλῶς σὺ συμπαθεῖς*“ *ἔφη καταψήχων* ⁝ *ὃ θέλεις δὲ μὴ γένοιτο μηδὲ συμβαίη.*“ Quod v. 6 pro *ὁμαλίζων* coniecit *καταψήχων* Suidae testimonio (*καταψήχω· τρίβω καὶ ὁμαλίζω*) confirmari videtur. Sed versus isti cum *σκύλακα* vocis ictu atque caesura post *συμπαθεῖς* neglecta tum nimia brevitate a Babrii arte abhorrent; fuit fere: *Ποιμὴν τρέφειν τὸν σκύλακα μοῦνον εἰώθει* ⁝ *προβάτων ⟨νοσούντων σαρκὶ⟩ κἀποθνῃσκόντων.* ⁝ *καὶ δήποτ' ἐγγὺς ἀμνάδος νοσησάσης* ⁝ *ἱστάμενος εἶδε ⟨παρακαθήμενον ταύτῃ⟩* ⁝ *τὸν κύνα κατηφῆ καὶ δοκοῦντα δακρύειν.* ⁝ *ᾧ ⟨δὴ γελῶν τε καὶ νάκος⟩ καταψήχων* ⁝ „*καλῶς ⟨σὺ⟩ ποιεῖς*“ *εἶπε* „*συμπαθῶν ταύτῃ·* ⁝ *πλὴν ἀλλὰ μὴ γένοιτο μηδὲ συμβαίη* ⁝ *ὅπερ θέλεις⟨, φέριστε, ταῖς ἀληθείαις⟩.*“ Ne eos quidem versus a criticis integros servatos esse qui traditi sunt integri (5. 8) satis mireris ‖ Epim. (prom. B) | *πᾶς ἐ.* M$P^1$ | *τῶν νοσσουντων* $P^1$

**172** B 124, cf. Avian. 41 ‖ 1 *αὐτοῦ* B ‖ 2 *βοῖαν* B | *φερωμένην* B | *καλὴ* B, em. Kn ‖ 4 *ἀλλ' ὅτι* B, em. Kn ‖ Epim. *τολμηρῶν ἀνδρῶν καὶ αὐθαδῶν* B, em. Kn

**172$^{a}$** *Ποταμὸς δι᾽ αὑτοῦ*

*βύρσαν φερομένην ἰδὼν ἠρώτησε τίς καλεῖται. ἡ δὲ εἶπε „ξηρά“. ἐπικαχλάσας δὲ τῷ ῥεύματι εἶπεν· „ἄλλο τι ζήτει* (e) *καλεῖσθαι· ἁπαλὴν γὰρ ἐγὼ ἤδη ταχὺ ποιήσω σε.*

**173** *Ποταμοῦ πλησίον ἄμπελος ἦν· φραγμὸς δὲ ἦν αὐτῇ παλίουροι. πλημμύρας δὲ ὁ ποταμὸς ἐξέσυρε παλίουρον. συνέβη δὲ δράκοντα ταῖς φολίσι συμπλακέντα τῇ παλιούρῳ φέρεσθαι. εἶπε δέ τις ἰδών·*

*„κακὴ μὲν ἡ ναῦς, ἀξίη δὲ τοῦ ναύτου.“*

*[Ὅτι δικαίως κακοὶ σὺν κακοῖς ἀπόλλυνται.]*

**173$^{a}$** *Καί τις ἄμπελος τοῦ ποταμοῦ πλησίον*
*εἶχεν ἐπ᾽ αὐτῇ τὸν φραγμὸν ἐκ παλούρων,*
*τοῦ δὲ ποταμοῦ ἐξ ὄμβρων φυσηθέντος*
*ἦρε τὸν φραγμὸν καὶ καθελὼν ἀπήει.*
*τοῖς δὲ παλούροις δράκων τις συνεπλάκη,*

---

**172$^{a}$** (Eb 135) 'ex MS' ed. Hudson (Hauptmann) 342, unde pendent Cor. Halm. Hos versus exsculpsit Hp Opusc. III 577: *ποταμὸς δι᾽ αὑτοῦ φερομένην ἰδὼν βύρσαν ¦ τί καλοῖτ᾽ ἐπηρώτησεν· ἡ δ᾽ ἔφη „δέρρις“* (pro *ξηρά*, coll. Bekk. Anecd. p. 240) ¦ *ἐπικαχλάσας δ᾽ ἔφησεν* [non scripsit Babrius] *„ἄλλο τι ζήτει· ¦ ἤδη γὰρ ἁπαλὴν ταχύ σ᾽ ἔγωγε ποιήσω.* Primum versum probo, ceteri nimis contracti; possis: *Ποταμὸς δι᾽ αὑτοῦ φερομένην βοὸς βύρσαν ¦ ⟨μεγάλην⟩ ἰδὼν „τίς ⟨δὴ⟩ καλεῖ ⟨ποτ᾽;⟩“ ἠρώτα. ¦ „σκληρὴ καλοῦμαι“ φησίν. „ἄλλο τι ζήτει“ ¦ ἐπικαχλάσας ὁ ποταμὸς εἶπε τῷ ῥείθρῳ· ¦ „ἐγὼ γὰρ ἁπαλὴν ⟨ἐν βραχεῖ⟩ σε ποιήσω.“* Imitatus est Avianus 41, qui ad vas fictile amphorae nomine gloriantem fabulam transtulit; cf. Petron. 57 *vasus fictilis, immo lorus in aqua* (Cr ann. 655)

**173** (Eb 151) B 125 $P^1$ 75; tetr. II 32 nihil ad Babrium $A^u$ 97 et qui cognati sunt ‖ 2 *αὐτῆς* $P^1$ | *παλλίουροι* B | 2sq. *παλλίουρον* B, *παλιούρω* $P^1$ ‖ 3 *φολίσι* $P^1$, *φωλίσι* B, *φυλλίσι* Kn, restitui *φολίσι* ‖ Prom. B = epim. $P^1$

**173$^{a}$** paraphrasis Byzantina Hudson. Hauptm. 183, unde hauserunt reliqui (Cor. p. 114 med.) ‖ 1. 2. *πλησίον εἶχε ποταμοῦ τὸν φραγμόν* Hd, corr. Hsr ex codd. [cf. tetr. 32$^{a}$] ‖ 4 *ἀπίει* Hd ‖ 5 *τῇ δὲ παλιούρῳ* Hd, corr. Hsr ‖ Colores Babriani in utroque exemplari misere oblati; v. 1 cum Gb scribere possis: *Ποταμοῦ σύνεγγυς ἄμπελος καθειστήκει,* v. 2

ὃς ἐφέρετο τοῦ ποταμοῦ ἐν μέσῳ.
καί τις κατιδὼν ἔφη γελάσας μέγα·
„ἡ μὲν ναῦς κακή, ἀξία δὲ τοῦ ναύτου.

[Ὁ μῦθος δηλοῖ ὅτι δικαίως οἱ κακοὶ ἐν κακοῖς ἀπόλλυνται.]

**174** Πολέμῳ ἐμφυλίῳ βάτραχοι πολεμοῦντες ἀλλήλοις (e) ᾐτήσαντο τὸν Δία, βασιλέα δοθῆναι αὐτοῖς τοῦ δι' ἐκείνου τὰ αὐτῶν διοικεῖσθαι (e?). καὶ ξύλον δοκὸν μέσον τῆς λίμνης ῥίψας (e) διετάραξε τὸ ὕδωρ. πάντας δὲ βατράχους σιγὴ κατέσχεν ἐκπλαγέντας. χρόνῳ δέ τινι τοῦ ξύλου ἀκινήτως (e) ὄντος

κατεφρόνησαν ⟨λοιπὸν⟩ ὥστε †καὶ ἐπιβάντες

ἀπάνωθεν πολεμεῖν ἀλλήλοις. καὶ πάλιν ἐδέοντο τοῦ Διὸς τύραννον (i) ἢ στρατηγὸν λαβεῖν. ὃ δὲ βδελυχθεὶς αὐτοὺς ὕδρον ἔδωκε διαφθείροντα τοὺς βατράχους.

[Ὅτι πολλοὶ φεύγοντες δουλεύειν (e?) εἰρηνικοῖς δεσπόταις καὶ ἄκοντες εἰς πονηροὺς ἐνέπεσον.]

---

**174**, 1 cf. 31, 1 sq. 39 | 7 im = 26, 6

---

cum Eb ποταμοῦ δὲ φυσηθέντος ⟨ἄκρον⟩ ἐξ ὄμβρων, epim. cum Bergero κακοὶ δικαίως σὺν κακοῖς ἀπόλλυνται. Conferenda fab. A[c] 110 (iamb. 14), ubi φρύγανα ὑπ' ἀνέμου φερόμενα pro nave habentur, cf. vit. Aesop. 33 p. 297 Eb; notum proverbium (θεοῦ θέλοντος) κἂν ἐπὶ ῥιπὸς πλέοις Arist. Pac. 698 cum schol., paroemiogr., lexicogr. s. ῥίψ.

**174** (Gb 167) B 126; myth. p. 221; e Babriana orta fabula dodecasyllabis concepta, quam ex 'MS. Gall.' edidit Hudson Add. ad fab. 167 (Hauptm. p. 305, unde hausit Cor. p. 102); ceterae a Babrio alienae. Cf. Dio Chrys. or. IX p. 151 D ‖ 1 πολέμῳ ἐμφυλίῳ B, πόλεμον ἐμφύλιον Kn ‖ 3 ξύλον B, em. Kn ‖ Eberhardi quibusdam inventis usus (Anal. 189, 18) collatisque similibus locis particulas nonnullas restitui: 1 ⟨Στάσιν ποτ'⟩ εἶχον βάτραχοι πρὸς ἀλλήλους ¦ ἐμφύλιόν τε πόλεμον ⟨αἱμάτων πλήρη⟩. ¦ . . 3 ξύλον δὲ λίμνην εἰς μέσην δοκὸν ῥίψας ¦ ἐτάραξεν ὕδωρ. τοὺς δὲ βατράχους πάντας ¦ σιγὴ κατέσχεν ἐκπλαγέντας... ¦ (πάντας δὲ σιγὴ βατράχους κατειλήφει?) ¦ 6 κατεφρόνησαν ⟨λοιπὸν⟩ ὥστε κἀμβαίνειν ¦ ἐπάνωθεν ⟨αὐτοῦ⟩ μαχόμενοι σὺν ἀλλήλοις . . . ¦ 10 ὕδρην ἔδωκε βατράχους διαφθεῖραι.

**175** *Ποιμὴν μικρὸν λύκον εὑρὼν ἐθρέψατο, εἶτα σκύμνον γενόμενον ἐδίδαξεν ἁρπάζειν* (e)
*ἐκ τῶν σύνεγγυς ποιμνίων.*
*ὁ λύκος δὲ διδαχθεὶς ἔφη· „ὅρα μή πως* (e) *σὺ ἐθίσας με ἁρπάζειν*
⟨*καὶ*⟩ *τῶν σεαυτοῦ πρόβατα πολλὰ ζητήσῃς.“*
[*φύσις πονηρὰ χρηστὸν ἦθος οὐ τίκτει.*]

[*Ὅτι οἱ τῇ φύσει δεινοὶ ἁρπάζειν καὶ πλεονεκτεῖν μαθόντες τοὺς διδάξαντας πολλάκις πλείονα ἔβλαψαν.*]

**176** *Ποτὲ ἀετὸς ἑάλω ὑπ' ἀνθρώπου* (e). *τούτου δὲ τὰ πτερὰ ὁ ἄνθρωπος εὐθέως κόψας* (e)
*ἀφῆκε μετὰ τῶν ὀρνέων*
*ἐν οἴκῳ* (e?) *εἶναι. ὃ δὲ ἦν κατηφὴς οὐδὲ ἤσθιεν ἐκ τῆς λύπης· ὅμοιος δὲ ἦν βασιλεῖ δεσμώτῃ* (e). *ἕτερος δέ τις τοῦτον ὠνησάμενος*

---

**175** (Eb 133, Gb 168) B 127; V Fur. 373; fabulae epimythium in M et $P^1$ sequenti fabulae additum est, cf. Nevelet ad fab. 150; 7 Georg.; longius abest $A^c$ 71. Cf. Theocr. V 38, A. P. IX 47 ‖ 3 *σύνεγκυς* B ‖ 6 *πολλὰ τῶν σεαυτοῦ προβάτων ζ.* B*V ‖ 7 om. B, servarunt Georg. an. I p. 21 et $A^c$. Multo haud dubie uberior fabula Babrii, velut: *Ποιμὴν νεογνὸν* ($A^c$) ⟨*ἐν βαθυσκίοις ὕλαις*⟩ ⋮ *λύκον* ⟨*τιν'*⟩ *εὑρὼν εἶχε σὺν κυσὶν* ($A^c$) *θρέψας.* ⟨*χρόνῳ δ' ἀληθὲς*⟩ *γενόμενον* ⟨*λύκου*⟩ *σκύμνον* ⋮ *ἐδίδαξεν αὐτῷ* ⟨*πρόβατα τοῦτον*⟩ *ἁρπάζειν* ⋮ *ἐκ τῶν σύνεγγυς πομνίων.* ⟨*ἄγαν δ' ἤδη*⟩ ⋮ *ὁ λύκος διδαχθεὶς εἶπεν· „ἀλλ' ὅρα μήπως* ⋮ *ἐθίσας σύ μ' ἄλλων πρόβατα,* ⟨*δέσποθ'*⟩, *ἁρπάζειν* ⋮ *καὶ τῶν γε σαυτοῦ πρόβατα πολλὰ ζητήσῃς.“* Ad v. 1. 2 cf. 92, 2. 86, 3. Accedunt quaedam in $A^c$, in quibus Babrii manum agnovit Eb, veluti *αὐτὸς λάθρᾳ θύων* (124, 4) *ἅμα τοῖς κυσὶν ἐθοινεῖτο* ‖ Epim. (prom. B) *Ὅτι* om. F$P^1$ | *πλείονα* om. B

**176** (Eb 166) B 128 M 39 $P^1$ 76; paullo liberius F Fur. 23, $Pal.^4$ Nev. 150 Cor. 147 ‖ 1 *ἀετός ποτε* F $Pal.^4$ | *ὅστις τὰ πτερὰ* F ‖ 2 *εὐθέως* om. BM | *τίλας* F ‖ 3 *ὀρνήθων* B, *ὀρνίθων* M$P^1$ ‖ 4 *εἶναι* om. M | 4 sq. *αὐτὸν ἐν οἴκῳ σὺν ὀρνιθίοις εἴασεν* $Pal.^4$, *εἴασεν αὐτὸν ἐν οἴκῳ σὺν ὄρνισιν* F | *οὐδὲν* B, *καὶ οὐδὲ* M$P^1$, *καὶ οὐδὲν* F$Pal.^4$ ‖ totum locum decurtavit F ‖ 5 *ὁμοίως* $P^1$ ‖ 6 *ὠνησάμενος* B*, *ἐξαγοράσας* F$Pal.^4$

*καὶ τὰ πτερὰ ἀνασπάσας καὶ μύρῳ χρίσας*
*ἐποίησε πτερῶσαι· ὃ δὲ πετασθεὶς καὶ τοῖς ὄνυξι λαγωὸν ἁρπάσας*
*ἤνεγκεν αὐτῷ δῶρον.*
*ἀλώπηξ δὲ ἰδοῦσα [εἶπεν]· „μὴ τούτῳ* (e)
*δίδου ⟨τὰ δῶρα“ φησίν⟩ „ἀλλὰ τῷ πρώτῳ,*
*ὅτι ὃ μὲν φύσει ἀγαθός ἐστιν· ἐκεῖνον δὲ μᾶλλον ἐξευμενίζου, μήπως* (e)
*πάλιν λαβών σε τῶν πτερῶν ἐρημώσῃ.“*

*[Ὅτι δεῖ χρηστὰς ἀμοιβὰς τοῖς εὐεργέταις παρέχειν, τοὺς πονηροὺς δὲ φρονίμως τροποῦσθαι.]*

## 177 *Ποδῶν χελώνης κατεγέλα ⟨τε⟩ κἀργίης*

---

**176,** 7 sq. pro *καὶ — πτερῶσαι* nimis exilia *ἀνεπτέρωσε* (Babrii?) *τὸν ἀετὸν αὐτίκα* Pal.[4] F ‖ 8 *καὶ — ἁρπάσας* B*, *καὶ λαγωὸν κρατήσας* Pal.[4] F ‖ 10 *ἤνεικεν* M; *ἤνεγκεν εὐθὺς δῶρον τῷ εὐεργέτῃ τοῦτον* Pal.[4] F, qui om. *τοῦτον* ‖ 15 *τὸ πτερὸν* B* | *ἐρημώσει* M P[1] ‖ 12 sqq. liberrima ratione circumscripserunt Pal.[4] F, nisi quod ultimam saltem vocem *κατερημώσῃ* servavit F. Fabulae restituendae periculum facturus solam fere recensionem Bodleianam pro fundamento habeas necesse est: *τὰ πτερὰ ⟨μαχαίρῃ⟩ τοῦτον εὐθέως κόψας* ¦ *ἀφῆκε μετὰ τῶν ὀρνέων τρέχειν οἴκῳ* (cf. 135, 1) ¦ *ὃ δ' οὐδὲν ἔφαγε συμφορῇ κατηφήσας* (cf. 62, 5), ¦ *βασιλεῖ δ' ὅμοιος ἦν ⟨τὰ πάντα⟩ δεσμώτῃ* (cf. 97, 8). ¦ *ἕτερος δέ τις πριάμενος αὐτὸν ⟨ἀγροίκων⟩* ¦ *ἀνασπάσας τὰ πτερά τε καὶ μύρῳ χρίσας* ¦ *ἀνεπτέρωσεν αὐτὸν ὥστ' ἀποπτέσθαι.* ¦ *ὃ δὲ τοῖς ὄνυξιν ⟨αὖ⟩ λαγωὸν ἁρπάζων* ¦ *ἤνεγκεν αὐτῷ δῶρον ⟨ἀντ' ἰατρείων⟩* (cf. 94, 7). ¦ *κερδὼ σοφὴ δ' ἰδοῦσα „⟨λῷστε⟩, μὴ τούτῳ* ¦ *δίδου ⟨τὰ δῶρα“ φησίν⟩ „ἀλλὰ τῷ πρώτῳ* ¦ *— ὃ μὲν φύσει γὰρ ἀγαθός ἐστί σοι —, μήπω* ¦ *πάλιν λαβών σε τῶν πτερῶν ἐρημώσῃ.“* ‖ Initium nimis decurtatum ad fab. 13, 1 sq. exemplum refingi potest.

Prom. B = Epim. F Pal.[4] *ὁ μῦθος δηλοῖ, ὅτι — παρέχειν, τοὺς δὲ κακοὺς ἐκκλίνειν*; in M et P[1] epim. antecedentis fabulae huic additum | *τοὺς εὐεργέτας* B ‖ *φρονήμως* B

**177** B 129 P[1] 77; Huds. (Hauptm.) 287[b]; F Fur. 173 dodecasyllabis coacta ‖ **1** *π. χ. λαγωὸς κατεγέλα· ἡ δὲ* om. *κἀργίης* B P[1] F, *π. χ. κατεγέλα λαγωὸς καὶ ἀργίας· ἡ δὲ* Hd

*λαγωός· ἡ δ' ἔφη †πρὸς αὐτὸν τοιαῦτα·*
*„ἐγὼ σὲ τὸν ταχύποδα ποσσὶ νικήσω“.*
*ὁ δὲ 'λόγῳ μόθῳ, χελώνη,*
*λέγεις †τοῦτο· ἀλλ' ἔριζε καὶ γνώσῃ...'*

*„τίς δὲ τὸν τόπον ὁρίσει“ ἔφη „καὶ βραβεύσει τὴν νίκην;“* (e); *'ἀλώπηξ' ἔφη 'ἡ δικαία καὶ σοφωτάτη.' ἔταξε δὲ τὴν ἀρχὴν τῆς ὥρας* (e) *τοῦ δρόμου· ἡ δὲ χελώνη μὴ ῥαθυμήσασα ἤρξατο τῆς ὁδοῦ πρὸς τὸ αὐτῆς ἀφορῶσα δυσκίνητον· ὁ δὲ λαγωὸς τοῖς ποσὶ θαρρῶν ἐκοιμήθη* (e). *ἐλθὼν δὲ ἐπὶ τὸν ὡρισμένον τόπον εὗρε τὴν χελώνην νικήσασαν.*

---

**177,** 3 m e cf. 67, 2. 44, 3 | 5 e cf. 91, 7. 1, 7

---

**177,** 2 *πρὸς αὐτὸν ταῦτα γελῶσα* F, om. B* Hd ‖ 3 *σοι τὸν* P[1] | *ταχύπουν* om. *ποσσὶ* B, *ἐγώ σε τὸν ταχὺν ἐν τοῖς ποσὶ ν.* Hd, *ἐγὼ τὸν ταχύν σε ἐν δρόμῳ νικήσω* F ‖ Quae sequuntur, liberius conformata in F, unde selectas tantum lectiones repetam ‖ 4 *χελώνη* om. B, add. Hd ‖ 5 *γνῶθι* B*, *γνώσῃ μου τοὺς πόδας* F ‖ 6 *τίς δὲ τὸν ὅρον προστάξειεν ἀντεφύσησεν ἡ χελώνη* F, fuit fortasse *εἶπε⟨ν ἀντι⟩φυσῶσα* ‖ 7 *ἀλώπηξ δὲ δικαία καὶ σ.* om. *ἔφη ἡ* Hd ‖ 7 sq. *ἔταξε — ὥρας* (fuitne *χώρας*?) *τοῦ δρόμου* B*, *ἔταξεν ὁδὸν τῶν δρόμων τὴν εὐθεῖαν* Hd, utraque his *συνετάξατο τὴν ἀρχὴν καὶ τὸ τέλος ἅμα τὸν δρόμον καὶ τὸν τόπον δείξασα* coniungit F ‖ 9 sq. *πρὸς τὸ — δυσκίνητον* servavit Hd, om. B*, non expressit F, qui habet *ἡ οὖν χελώνη μηδόλως κατοκνήσασα εὐθὺς ὁδεύουσα εἰς τὸν ὅρον ἀνῆλθεν* ‖ 10 sq. *θαρρῶν τοῖς ποσὶ* Hd ‖ 11 *ὁρισμένον* B*; exitum hunc: *ὁ δὲ — θαρρῶν ἐφύπνου. | μετὰ δὲ ταῦτα ἐξαναστὰς τῆς κοίτης | δρομαῖος ἧκεν εἰς τὸν τόπον τοῦ ὅρου | ὅστις† εὗρε τὴν χελώνην ὑπνοῦσαν* exhibet F, in quo haud scio an lateant flores Babriani: *ὅρους ὁδόν τε τοῖς δρόμοισιν εὐθείην ⁞ ἔδειξεν· ἡ χέλυμνα δ' οὐκ ἐρᾳθύμει* (116, 14. 115, 5), ⁞ *θαρρῶν δὲ ποσσὶν ὁ δασύπους ἐκοιμήθη* (Eb) ⁞ *ἕως ἀναστὰς ⟨ὀψὲ – ⏑⟩ ἐκ κοίτης ⁞ δρομαῖος ἧκε ⟨χρόνιος⟩ εἰς ὅρου χώρην, ⁞ καὶ τὴν χελώνην ἐνθάδ' εὗρε νικῶσαν* (Eb) ‖ Babrii fabula haud scio an proverbio explicato orta sit *πρότερον χελώνη παραδραμεῖται δασύποδα* (prov. Bodl. Ps.-Diog. Suid., cf. etiam. Liban. ep. 72, or. vol. IV p. 854, ubi pro lepore substitutus est equus). Sed antiquitus nota erat similis fabula vasculis quibusdam pervetustis repraesentata: cum lepore certans erinaceus eodem ut videtur dolo usus quo in populari nostra fabella, cf. Cr p. 222.

[Ὅτι πολλαὶ φύσεις ἀνθρώπων εὐφυεῖς εἰσιν, ἀλλ' ἐκ τῆς ῥαθυμίας ἀπώλοντο· ἐκ δὲ νήψεως καὶ σπουδῆς καὶ μακροθυμίας τινὲς καὶ φύσεως ἀργῆς περιεγένοντο.]

**178** *Ῥόδῳ παραφυὲν*
ἀμάραντον (i?) ἔφη πρὸς αὐτό· „οἷον ἄνθος εὐπρεπὲς εἶ·
ποθητόν ⟨ἐσσι⟩ καὶ θεοῖσι κἀνθρώποις·
μακαρίζω σε τοῦ κάλλους (e) καὶ τῆς εὐωδίας. τὸ δὲ
„ἐγὼ μέν," εἶπεν „ὦ ἀμάραντον
πρὸς ὀλίγον καιρὸν ζῶ καὶ κἂν μηδεὶς ἐκκόψῃ (e) με τήκομαι· σὺ δὲ ἀνθεῖς καὶ ζῇς ἀεὶ οὕτω νέον."

[Ὅτι κρεῖσσον ὀλιγαρκούμενόν τινα διαμένειν, ἢ πρὸς ὀλίγον τρυφήσαντα μεταβολῆς δυστυχοῦς τυχεῖν ἢ καὶ ἀποθανεῖν.]

**179** *Σάλπιγγος* ⟨ἄνθρωπός⟩ τις ἦν ἐπιστήμων
στρατόν ⟨τε⟩ συνάγων
εἰς συμβολὰς πολέμων. οὗτος αἰχμάλωτος

---

**178,** 3e cf. 12, 14. 155, 7 ‖ **179,** 1e = 85, 3. 120, 4.

---

**177** Fabb. 129 et 130 affabulationes commutata in BP$^1$, fab. 129 prom. fabulae sequenti additum in M; prom. B = epim. P$^1$F Hd; *ὁ μῦθος δηλοῖ, ὅτι — εἰσιν εὐφυεῖς, ἀλλ' ἐκ ῥαθυμίας καὶ ὄκνου ἀπόλλυνται· ἐκ δὲ σπουδῆς καὶ μακροπονίας πολλοὶ περιεγένοντο τῆς φύσεως* F, brevius Hd | Epim. 1 *πολλὰς* BF, *πολλῶν* MF | *ἐκ τῆς* B, *τῆς* om. MF | *ἀπόλλονται* M, *ἀπώλλοντο* B

**178** (Gb 222) B 130 M 40 P$^1$ 78 = Nev. 279 Cor 275 Fur. 321, cf. Cr p. 226 ‖ 2 *πρὸς αὐτὸ* MP$^1$, om. B | *εἶ καὶ* MP$^1$ ‖ 3 *θεοῖς* MP$^1$, *θεῷ* B ‖ 5 *τὸ δὲ εἶπεν* BMP$^1$ | *ἀμάραντε* M ‖ 6 *κόψῃ με* P$^1$(Bgk), *ἐκκόψομαι* M ‖ 7 *ἀεὶ καὶ ζῇς* MP$^1$ ‖ Prom. B = epim. P$^1$ ‖ Hanc quoque fabulam rectis iambis ex parte illis misere claudicantibus inclusit Gb, quamquam v. 3 choliambus fere integer choliamborumque exitus quidam possunt dignosci; a Babrio abiudicavit Bgk Phil. XLVII 397, cf. prol.

**179** (Gb 171) B 131 P$^1$ 79; ex A$^c$ fol. 38$^a$ (Cor. 142 F 81) dodecasyllabis concepta selectas lectiones subiciam; lituum ipsum pro tubicine induxit Avian. 39 ‖ 1 sqq. *ἦν τις σαλπιστὴς στρατὸν ἐπισυνάγων, | ὅστις κρατηθεὶς ἐβόα τοῖς παροῦσιν* F ‖ 3 *συμβουλὰς* P$^1$

*ληφθεὶς ⟨ὑπ' ἐχθρῶν⟩ ἱκέτευε μὴ κτείνειν αὐτὸν ὡς μήτε τινὰ φονεύοντα μήτε κουρσεύοντα, πλὴν τὸ χαλκοῦν τοῦτο βύκινον εἰδέναι. οἱ δὲ εἶπον „διὰ τοῦτο μᾶλλον τεθνήξῃ* (e), *ὅτι σὺ μηδὲν ἰσχύων* (e) *τοὺς ἄλλους διεγείρεις.“*

[*Ὅτι πλεῖον πταίουσιν οἱ τοὺς κακοὺς καὶ βαρεῖς δυνάστας διεγείροντες πρὸς τὸ κακοποιῆσαι.*]

**180** *Στικτή ποτ' ⟨ἐπ⟩εκαυχᾶτο πάρδαλις ζῴων*
*φορεῖν ἁπάντων ποικιλωτέρην δέρριν.*
*πρὸς ἣν ἀλώπηξ εἶπε „σοῦ δ' ἐγὼ κρείσσω*
*δορῆς ἔχω καὶ ποικιλωτέρην γνώμην.“*

[*Ὅτι τοῖς συνετοῖς καὶ ποικίλα φρονοῦσιν μᾶλλον ἔπαινός ἐστιν ἢ τῇ φύσει εὐπρεπέσι καὶ μὴ τῇ γνώμῃ.*]

**181** *Τράγος * εὐθαλοῦς ἔτρωγεν ἀμπέλου βλάστην·*

---

**179,** 4 me = 124, 6 | 7 cf. 76, 16. 27, 8 ‖ **180,** 3 im = 14, 3 | e = 73, 4

---

**179,** 4 *λειφθεὶς* $P^1$ ‖ 5 *αὐτὸν?* | *ὡς μὴ καί* $P^1$ | *κουρσεύοντα* *praedantem*, cf. Knöll progr. p. 9 ‖ 6 *βύκινον* $P^1$, *βύκανον* B ‖ 6 sq. *πλὴν γὰρ τοῦ χαλκοῦ τούτου οὐδὲν ἄλλο κτῶμαι* $A^c$(F) ‖ 7 *τεθνήξω* $P^1$ ‖ 7 sq. *διὰ τ. γὰρ μᾶλλον τεθνήξῃ ἄρτι* | *ὅτι μηδὲν δυνάμενος ἐν πολέμῳ* | *τοῖς πᾶσι κράζεις πρὸς μάχην ἐπεγείρων* F, sim. $A^c$; fuerit: *οἱ δ' εἶπον αὐτῷ· „μᾶλλον οὖν σὺ τεθνήξῃ* ¦ *ἄλλους ἐγείρων καὐτὸς οὐδὲν ἰσχύων.“* (76, 16) ‖ Prom. B = epim. *ὁ μῦθος δηλοῖ ὅτι πλεῖστον — ἐπεγείροντες εἰς τὸ κ.* F

**180** (Eb 137) B 132 (decurt.?); tetr. II 16 cum 'Aesopo' Plut. VII sap. 12 p. 155 b, animine an corp. 2 p. 500 c faciunt ceteri, F Fur 13 $A^u$ 20; eadem fabula usum esse conicio Diogenem cynicum *πορδάλει*, cf. 72 ‖ 1 sq. *στ. ποτὲ πάρδαλις ἐκαυχᾶτο φορεῖν ἁ. ζ. ποικιλωτέραν δ.* B, rest. Cr; *ποτ' ηὔχει π. φορεῖν ⟨μούνη⟩* ¦ 2 *δορὴν ἁ. ποικιλωτάτην ζῴων* Lm Eb, sim. Babrius Minae, cf. Anthol.[3] p. XXXVIII LIV Bgk ‖ 3 sq. *εἶπεν „σοῦ τῆς δορᾶς κρείττονα καὶ ποικιλωτέραν γνώμην ἔχω* B, rest. Eb | cf. Eust. Il. *Γ* 374, 45. op. 353, 42

· **181** (Eb 148, Gb 173) B 133 $P^1$ 80 = Nev. Cor. 280, Aphthon. 37, tetrast. I 7; ceterae nihil ad rem. Usus est celebri epigrammate 1106 Kaibel, A. P. IX 75. 99 (Leon.); cf. Varr. R. r. I 2, 19; Verg. Georg. II 38, Ovid. Fast. I 853, Suet. Dom. 14 (Cassiod. Hyg. 277. Paus. II 38, 3 all.) ‖ 1 *τρ. ἐν τῇ ἐκβολῇ* $BP^1$, ubi

τούτῳ προσεῖπεν [ἡ] ἄμπελος· „τί με βλάπτεις
⟨κείρων τὰ φύλλα⟩; μὴ γάρ ἐστιν οὐ χλοίη;
ὅμως ὅσον σοῦ θυομένου †οἶνον χρήζουσιν
ἐγὼ παρέξω . . .“

[Ὅτι τοὺς ἀχαρίστους καὶ βουλομένους τοὺς φίλους πλεονεκτε
ὁ μῦθος ἐλέγχει.]

182 Τράγος ἐν θέρει σφοδρῶς† διψήσας
κατῆλθε κρημνὸν εἰς βαθὺν πιεῖν ὕδωρ.
πιὼν δὲ καὶ χορτασθεὶς οὐκ ἠδύνατο ἀνελθεῖν·
καὶ μετενόει ⟨δὴ⟩ καὶ βοηθὸν ἐζήτει.
ἀλώπηξ δὲ τοῦτον ἰδοῦσα ἔφη· „ὦ ἀνόητε, εἰ τόσας φρένα
εἶχες, ὅσας ἐν τῷ πώγωνι τρίχας, πρότερον
οὐκ ἂν κατῆλθες, πρίν τιν' ἄνοδον ἐσκέψω.“

[Ὅτι δεῖ πρότερον προσκοποῦντα τὰ τέλη τῶν πραγμάτων κ
οὕτω ποιεῖσθαι τὰς τούτων ἐγχειρήσεις.]

---

181, 5 e cf. 63, 10 ‖ 182, 1 me = 43, 1

---

latere suspicor τρ. εὐθαλοῦς coll. 128, 6. 9 | τῆς ἀ. τὴν βλ
στην ἔτρωγε $BP^1$, transposuit Eb | κείρων τὰ φύλλα om. $BP^1$,
tetrasticho repetiit Eb ‖ 3 γὰρ om. $P^1$ | οὐκ ἔστι χλόη $BP^1$ tetr
5 fuit fere ὅμως ὅσον χρήζουσιν ἄρτι πως οἶνον ‖ 5 exitu
ἐγὼ παρέξω τοῖς θεοῖσιν ἣν θύῃ e tetrastichis haud male rest
tuit Gb; ἐγὼ δὲ παρ' ἐμαυτοῦ ἀντισπείσω τὸν οἶνον Aphth.

182 (Eb 145, Gb 174) B 134 $P^1$ Nev. 284 Cor p. 6; Epir
Georg. (= Coisl. 371, cf. Tyrwh. Fur. p. LXXXIII); tetr. II 15.3
melior fabula $A^c$ 4 Cor p. 5 ‖ 3 σφοδρῶς τράγος ⟨τις ὑπὸ 
καῦμα⟩ διψήσας Eb | κατῆλθεν εἰς βαθὺ κρημνον ὕδωρ πιε
$P^1$, κ. εἰς βαθύκρημνον φρέαρ (interpol., cf. v. 3) π. B, sir
tetr., rest. Eb ‖ 4 μετανοήσας αὖ? ‖ 7 ἂν κατέβης, εἰ μὴ τὶ
ἄνοδον ἐ. B*, corr. ex tetr. (ἐσκέψω etiam $P^1$) | Prom. B = epin
$P^1$, cf. Georg. p. 31 Βαβρίου· δέον τὰ τέλη τῶν πρ. ἡμᾶς προορᾶ
καὶ οὕτως τὴν τούτων ἐγχείρησιν (ἐνχείρισιν Coisl.) ποιεῖσθ
(sim. gnomol. Cahir. Tischend. an.$^3$ p. 221, Apostol.-Ars. V 92
= Maxim. Mel. 2) | καὶ om. $P^1$ | τὰς τ. ἐ. om. Nev., habet 
B 135 = fab. 136.

**183** *Ὑμηττίη μέλισσα, κηρίων μήτηρ,*
*τῷ Διῒ φέρουσ' ἀνῆλθεν εἰς θεῶν οἴκους*
*μέλι μήπω καπνισθέν* (e?). *ὁ Ζεὺς δὲ τῷ δώρῳ* (e) *ἐτέρφθη*
*καὶ ὑπέσχετο δοῦναι γέρας ὃ ἂν αἰτήσηται.*
*ἡ δ' εἶπε „δός μοι κέντρον †ἵνα εἴ τις ἀνθρώπων*
*τὸ ἐμὸν ἔργον πλησιάσῃ ἆραι, ἀναιρῶ τοῦτον.“ ἀπηρέσθη*
*δὲ ὁ Ζεὺς τῇ αἰτήσει*
*— ἠγάπα γὰρ [τοὺς] ἀνθρώπους —*
*[ὅμως] καὶ μὴ θέλων ἔδωκεν· εἶπε γὰρ δώσειν.*
*τοιοῦτον οὖν ἔδωκεν ὥστ' [αὐτὴν] ἀποθνήσκειν*
*ἅμα τῷ πλῆξαι.*
*ζωὴ γὰρ αὐτῆς ἐστι πετομένης [τὸ] κέντρον.*

[*Ὅτι ἐν ταῖς εὐχαῖς καὶ δεήσεσι μηδεὶς κατὰ τῶν ἐχθρῶν αἰτείτω* (e) *τι·. ὃ γὰρ ἂν κακὸν αἰτήσηται, ἐπ' αὐτὸν ἥξει.*]

---

**183,** 1 e cf. 32, 2. 38, 6 | 2 e cf. 58, 5. 72, 2

---

**183** (Eb 139, Gb 175) B 136; liberior unde pauca tantum decerpam F Fur 114 dodecasyllabis concepta ‖ 1 *Ὑμητία* B, om. F ‖ 2 *ἀνῆλθεν εἰς θεῶν οἴ. φέρουσα τῷ Διὶ* B, rest. Eb; *ἀνελήλυθεν εἰς θεοὺς θυμιάσαι κτλ.* F | *φέρειν*? cf. p. LIII[4] ‖ 3 sq. *τερφθεὶς δὲ ὁ Ζεὺς* F ‖ 4 sq. *δοῦναι ὃ ἂν αἰτήσῃ* (e?) F ‖ 5 *δὲ εἶπεν* B ‖ 9 ⟨*δ'*⟩*ἔδωκεν*? ‖ 10 *τοιοῦτον δὲ δέδωκεν ὡς* B, corr. Eb | *ἐὰν . . σὺ δὲ* [verba sunt Iovis] *προσκρούσῃς αὐτῷ καὶ πλήξῃς, αὐτὴ ⁞ μᾶλλον τεθνήξῃ, ἐκβληθέντος σου [τοῦ] κέντρου· ⁞ ζωὴ γὰρ ἐν σοὶ ὑπάρχει τὸ κέντρον* F ‖ 12 *γὰρ* FLm, *δὲ* B: ultima verba vix sana; *αὐτῆς ἐπιποτωμένης* Bgk, cf. prol. ‖ 3 sqq. 7 sqq. versus Eberhardi quibusdam inventis usus facile restituas: 3. *ὁ Ζεὺς δ' ἐτέρφθη τῷ* ⟨*μελισσίου*⟩ *δώρῳ, ⁞ δώσειν δ' ὑπέσχετ' ὅτι γέρας ποτ' αἰτήσῃ. ⁞ ἡ δ' εἶπε „δός μοι κέντρον, εἴ τις ἀνθρώπων ⁞ ἆραι πελάζοι τοὐμὸν ἔργον ὡς κτείνω.“ ⁞ ἤλγησε δ' ὁ Ζεύς — ἠγάπα γὰρ ἀνθρώπους . . . ⁞* Coll. F exitum v. 11 refingas talem: *μέλισσαν αὐτήν, κέντρον ἣν ποτ' ἐμπήξῃ κτλ.* ‖ Prom. B = Epim. F: *Ὁ μῦθος δηλοῖ ὅτι — δεήσεσιν οὐ δεῖ κατὰ — ἐχθρῶν τι ἐξαιτεῖσθαι κακόν· ὃ γὰρ ἂν κακὸν κατ' αὐτῶν ἐξαιτήσῃς* (e), *ἀνθυποστρέψει ἐπὶ σὲ παραυτίκα.*

**184** Ὑπὸ τῶν κακῶν τὰ† ἀγαθὰ †ἐδιώχθη
ὡς ἀσθενῆ ⟨δὲ πάλιν ἔφευγεν ἐκ γαίης⟩,
εἰς οὐρανὸν δ' ἀνῆλθε καὶ ⟨δι⟩ηρώτα
τὸν Δία, ⟨συν⟩εῖναι πῶς ⟨χρέων⟩ σὺν ἀνθρώποις.
ὃ δ' εἶπεν ⟨αὐτοῖς⟩ „πάντα μὴ μετ' ἀλλήλων,

ἓν δὲ καθ' ἓν τοῖς ἀνθρώποις ἐπέρχεσθαι.“ διὰ τοῦτο τὰ μὲν κακὰ συνεχῆ τοῖς ἀνθρώποις ὡς πλησίον ὄντα ἐπέρχεται, τὰ δὲ ἀγαθὰ βράδιον ἐξ οὐρανοῦ κατιόντα.

[Ὅτι ἀγαθῶν μὲν οὐδεὶς ταχέως ἐπιτυγχάνει, ὑπὸ δὲ τῶν κακῶν ἕκαστος καθ' ἑκάστην πλήττεται.]

**185** Ὑπεράνωθεν πέτρας ἀετὸς ἐκαθέζετο λαγωοὺς θηρεῦσαι (e?) σκοπῶν.

τοῦτον δέ τις ⟨κυνηγὸς⟩ ἔβαλε τοξεύσας,

καὶ τὸ μὲν βέλος ἔσω εἰσῆλθεν, ἡ δὲ γλυφὶς σὺν τοῖς πτεροῖς (i) πρὸ τῶν ὀφθαλμῶν εἱστήκει (e). ὃ δὲ

---

**184**, 3 e = 75, 12 | 4 e = 58, 8 | 5 e = 44, 1 ‖ **185**, 3 e = 68, 10

---

**184** (176 Gb) B 137 V Fur. 347 ‖ 1 ὑπὸ τ. κ. τὰ ἀγαθὰ B, ἀγαθὰ πάντα ὑπὸ τ. κ. V, num τὰ χρηστὰ πάντα (58, 1)? | ὡς ἀσθενῆ ὄντα BV, suppl. Cr coll. 25, 10. 58, 15. 6 ‖ 3 δὲ ἀνῆλθεν B, ἀνῆλθον V | καὶ τὰ κακὰ ἠρώτησαν V, τὰ δὲ κακὰ ἠρώτησαν B, praeter sententiam (Kn); em. Cr ‖ 4 πῶς εἶναι BV, rest. Cr coll. 58, 9. 25, 9 | μετ' ἀνθρώποις B, μ. -ων V ‖ 5 ὁ δὲ BV | μὴ μετ' ἀλλ. πάντα BV, transp. Cr ‖ 8 κατιόντα B, κάτεισι V ‖ Fuerit: 6 καθ' ἓν δ' ἓν ἀνθρώποισι παριέναι χρείη.“ ⁞ διὰ τοῦτο συνεχῆ (ἄληκτα?) τὰ μὲν ἐπέρχετ' ἀνθρώποις ⁞ ὡς πλησίον ⟨παρ⟩όντα, τὰ δὲ πολὺ βράσσω κτλ. ‖ Prom. B = epim. V; latent choliambi ‖ ὁ λόγος δηλοῖ ὅτι ἀγαθῷ κτλ. V

**185** (Eb 146) B 138 $P^1$ 83 = Nev., $A^c$ Cor. 133 (cf. Hausrath p. 275); tetrast. I 25; Aphthon. 32 (Fur 218); Suid.? Celeberrima Aeschyli fabula Libystica, cf. Nauck ad Aesch. fr. 139 p. 45, ubi add. Anth. Pal. IX 224. ‖ Initium fuisse conicio πέτρης ἄνωθεν, cf. Suid. s. ἄνωθεν· ἐκ τόπου ἢ χρόνου (quod ad Sophoclis versus spectat). Βάβριος (excidit Babrii testimonium, seq. Soph. El. 1058); ὑπεράνωθεν vox Byzantina (Kn) ‖ 1 λαγωὸν $A^c$ ‖ 2 σκοπῶν B, ζητῶν $A^c$ ‖ 4 ἔσω $BP^1$, ἐντὸς αὐτοῦ $A^c$,

*ἰδὼν ἔφη· „καὶ τοῦτό μοι νέη λύπη*
*τὸ τοῖς ἐμοῖς πτεροῖσι ⟨νῦν⟩ ἀποθνήσκειν.“*

[*Ὅτι τὸ κέντρον τῆς λύπης* (e) *δεινότερόν ἐστιν, ὅταν τις ἐξ οἰκείων* (e?) *κινδυνεύσῃ.*]

**186** *Φιλίαν ἐσπείσατο πρὸς ἀετὸν ἀλώπηξ. καὶ ὃ μὲν εἶχε τὴν καλιὰν ἐπάνω τοῦ δένδρου, ἡ δὲ ὑπὸ τὴν ῥίζαν. ὁ δὲ ἀετὸς ἐπιορκήσας τοὺς σκύμνους τῆς ἀλώπεκος **, τοῖς δὲ νεοσσοῖς θοίνην ἔδωκεν* (i?). *ἄλλοτε δὲ ἱερεῖον ἐκ τοῦ βωμοῦ ἁρπάσας μετὰ ἄνθρακος ἔθετο*

*εἰς τὴν καλιήν· ἡ δέ ⟨γ' εὐθὺς⟩ ἐξήφθη*

---

**185,** 6 e = 95, 46 | 7 e = 75, 16 ‖ **186,** 4 cf. 137, 2.

---

fuerat *εἴσω* (e) | *γλυφῆς* B, *γλυφὴ* $P^1A^c$ et codices quidam Hausrathi ‖ 6 *ἑτέρα λύπη* $BP^1A^c$, corr. Cr, nam *μοι ἑτέρῃ* crasin Babrius vix admisit Heronda multo severior ‖ 7 *ἐμοῖς πτεροῖς* $BP^1$, deinde *πρὸ τῶν ὀφθ. εἶ.* iteravit et del. $P^1$, *ἰδίοις πτεροῖς* $A^c$ | *ἐναποθνήσκειν* Nev. Initium fuit fere: *Πέτρης ἄνωθεν αἰετός ⟨τις⟩ εἱστήκει* (cf. 77, 1) ⁝ *σκοπῶν λαγωοὺς ⟨παισὶ δεῖπνα⟩ θηρεύειν·* ... ⁝ *κἄσω μὲν αὐτοῦ χολάσι τὸ βέλος ἐκρύφθη* (cf. 1, 9), ⁝ *ἀλλ' ἡ γλυφὶς δὴ* (47, 3) *σὺν πτεροῖσιν εἱστήκει* ⁝ *αὐτοῖς ἐν ὀφθαλμοῖσιν· ἣν κατοπτεύσας* (cf. 131, 15) ⁝ *κλαίων ἔφη· „καὶ τοῦτο κτλ.* Eberhard Lachmannum secutus e Tzetzae Chil. IX 168 *ἐμοῖς πτεροῖς ἐβόησεν ἐγὼ νῦν κατεβλήθην* versum exsculpsit *ἐμοῖς ἐγὼ πτεροῖσι νῦν κατεβλήθην*: sed Babrium illum hoc loco secutum esse demonstrari non potest. ‖ Prom. B = epim. $P^1$ | *ὁ μῦθος δηλοῖ, ὅτι δεινόν ἐστιν ὅταν τις ἐκ τῶν ἰδίων κινδυνεύσῃ* $A^c$; in B choliamborum vestigia pellucent | *ὅτε τις — κινδυνεύσει* B*, corr. ex $A^c$

**186** B 139 M 26 $P^1$ 84; praeivit Archilochus (fr. 86 sqq. 110) celeberrima fabula, quam integriorem circumscripserunt fabulatores $A^c$ 1 Cor. $A^u$ 1 Schn. Quamquam multo hac paraphrasi et amplior et laetior fuisse censenda est Babrii narratio, quam qui se restituisse opinatur Gb 177 nec sermonem poetae novit neque artem ‖ 1 *ἐποιήσατο* $P^1$ | *ὁ μὲν ἀετὸς* $P^1$ ‖ 2 *ἡ δὲ ἀλώπηξ* $P^1$ | *ἐπὶ τὴν* $P^1$ ‖ 3 sq. *χὠ μὲν καλιὴν εἶχεν ἐν κάρᾳ δένδρου* Eb ‖ 4 *δὲ* BM, om. $P^1$, uncinis inclusit Kn, ego lacunam indicavi: excidit fere *ἁρπάσας ἀνέφερε* | *ἄλλοτε* om. *δὲ* $BP^1$ ‖ 6 *καλιὰν ἡ δὲ* $BP^1$, *καλλιὰν οἱ δὲ* M

*καὶ οἱ νεοσσοὶ κατέπεσον· καὶ ἡ ἀλώπηξ θήραν* (e) *ἐποιήσατο τὸ συμβάν.*

[*Ὅτι δίκη τις ἐφορᾷ τὰ τῶν ἀνθρώπων* (e) *καὶ τοὺς ἐπιόρκους ἀμύνεται καὶ ἀποδίδωσι κατ' ἀξίαν.*]

**187** *Φυτὸν ἦν εἰς γεωργοῦ χώραν καρπὸν μὴ φέρον, ἀλλὰ μόνον στρουθῶν καὶ τεττίγων κελαδούντων ἦν καταφυγή. ὁ δὲ γεωργὸς*

*ὡς ἄκαρπον ἐκτεμεῖν*
*ἤμελλε, καὶ δὴ τὸν*
*πέλεκυν λαβὼν ἐπέφερε*
*τὴν πληγήν· οἱ δὲ τέττιγες καὶ οἱ στρουθοὶ ἱκέτευον τὴν καταφυγὴν αὐτῶν μὴ ἐκκόψαι* (e), *ἀλλ' ἐᾶσαι*
*ὥστ' ᾄδειν*
*ἐν †αὐτῷ καὶ σὲ τὸν γεωργὸν †τέρπειν.*
*ὃ δὲ μηδὲν αὐτῶν φροντίσας*
*καὶ δευτέραν πληγὴν καὶ τρίτην ἐπέφερεν. ὡς δὲ ἐκοίλανε τὸ δένδρον,*
*σμῆνος μελισσῶν*

---

**186** Exitum Gb interpolavit hunc: *νεοσσιὴ δ' ἐξῆπτο κἄπεσον τέκνα,* | *θήρην δ' ἀλώπηξ τὰ* (ᾱ?) *γενόμεν' ἐποιεῖτο,* quae ne diasceuasta quidem sunt digna. ‖ Epim. = prom. B *τὰ* om. $P^1$M | *τοῖς ἀνθρώποις* M | *ἀμύνηται* M

**187** (Eb 169 Gb 178) B 140 M 27 $P^1$ 85 = Nev. 176 Cor. 173 Fur. 266 ‖ Prom. B = epim. $P^1$M ‖ 1 *εἰς* om. M | *χώρα* (= *χώρᾳ*) M | *φέρων* BM ‖ 2 *καταφύγιον* M ‖ 4 *ἐκτέμνειν* $P^1$ ‖ 5 *ἤμελλεν* B ‖ 6 *λαβὼν* B$P^1$, *ἀναλαβὼν* M ‖ 10 oratio recta ab Halmio et Coraisio perperam oblitterata ‖ 12 *ἐπέφερε* B | *ἐκύλανε* B ‖ v. 11 sqq. Eberhardi vestigiis insistens conicias: ⟨*ἐμμένοντας*⟩ *ὥστ' ᾄδειν* | *κλάδοισι καὶ σὲ τ. γ. εὐφραίνειν*, v. 13 sq. *φροντίσας* ⟨*φυτοῦ πρέμνῳ*⟩ | *καὶ δευτέρην ἐπέφερε καὶ τρίτην* ⟨*παίων*⟩; cetera nimis incerta.

*καὶ μέλι εὗρε. γευσάμενος δὲ τὸν πέλεκυν ἔρριψε καὶ τὸ* 1
*φυτὸν ἐτίμα ὡς ἱερὸν καὶ ἐπεμελεῖτο.*
[*Ὅτι οὐ τοσοῦτον οἱ ἄνθρωποι φύσει τὸ δίκαιον ἀγαπῶσι καὶ τιμῶσιν, ὅσον τὸ κερδαλέον ἐπιδιώκουσιν.*]

**188** *Φαλακρός τις τρίχας ξένας τῇ ἑαυτοῦ κορυφῇ*
*περιθεὶς*
*ἵππευεν. ἄνεμος δ' ⟨εὐθὺς ἄντα⟩ φυσήσας*
*ἀφείλετ' αὐτὰς ⟨καὶ φαλακρὸς ὢν ὤφθη⟩.*
*γέλως πλατὺς δ' ἐπέσχε τοὺς παρεστῶτας.*
*κἀκεῖνος εἶπε τὸν δρόμον ⟨μόλις⟩ παύσας·*
*„τὰς οὐκ ἐμάς με τί ξένον τρίχας φεύγειν,*
*αἳ καὶ τὸν ἔχοντα ταύτας μεθ' οὗ ἐγεννήθησαν κατέλιπον;“*

[*Ὅτι μηδεὶς λυπείσθω ἐπὶ συμφοραῖς ἐπελθούσαις* (e) *αὐτῷ· ὃ γὰρ γεννηθεὶς οὐκ ἔσχεν ἐκ φύσεως, τοῦτο οὐδὲ παραμένει· γυμνοὶ γὰρ ἤλθομεν, γυμνοὶ οὖν καὶ ἀπελευσόμεθα.*]

---

188, 6 me cf. 62, 5.

---

187 Epim. 1 *τὸ φύσει δίκαιον* B, *τῇ φ. δ.* M ‖ 2 *κερδάλαιον* P[1] (*κερδαλαιν* Nev.)

188 (Eb 140 Gb 179) B 141 M 28 P[1] 86 = Nev. 288 Cor. 283 Fur. 326; Huds. (Hauptm.) 284 ex Ms.; Avian. 10, cf. Mart. II 41, 10 Mus. Rhen. XLIV 456 ‖ 1 *φαρακλὸς* MP[1] | *ξένας τρίχας* MP[1]Hd | *τὴν ἑ. κορυφὴν* P[1] | *ἐπιθεὶς* M ‖ 3 suppl. ex Aviani v. 5 *huius ab adverso Boreae spiramina* ‖ 4 *ἀφείλετο ταύτας* B, *ἀφείλατο τ.* Ms. Hudsonis, *ἀφεῖλε ταῦτας* P[1], *ἀφεῖλεν αὐτὰς* M, corr. Cr; suppl. ex Aviani vv. 6 sqq. *praestant ridiculum populo conspiciente caput,* | *nam mox . . . nituit frons nuda* etc., cf. 131, 17 ‖ 5 *δὲ πλατὺς τοὺς π. εἶχε* MP[1], *πλατὺς δὲ τοὺς π. εἶχεν* B, corr. Cr coll. 95, 59 ‖ 6 *τοῦ δρόμου* B*, cf. 62, 5 | *πανσάμενος* M | *τ. οὐκ ἐ. τρίχας τί ξ. φ. με* B*, cf. Anth. Pal. IX 18, 1 | *Quid mirum positos . . fugisse capillos, quem prius aequaevae deseruere comae* Avian. 11 sq.; 8 fuit fere: *ὃν καὶ κατέλιπον αἱ συνήλικες χαῖται*, cf. 22, 3; *ὁμῆλικα χαίτην* Nonn. par. VIII 40 ‖ Epim. 1 *ἐπὶ* om. MP[1] | sequor MP[1], *συμφορᾷ ἐπελθούσῃ* om. *αὐτῷ* B, Ms. Hudsonis, latet versus barbara arte factus *μηδεὶς λυπείσθω συμφοραῖς ἐπελθούσαις* ‖ 2 *τούτου* M | *οὔτε* B | *ἤλθομεν* B, *ἤλθομεν ἐκ γῆς πάντες* M, *ἤ. πάντως*(?) *οἱ πάντες* P[1] | *οὖν καὶ* MP[1], *καὶ* B, *οὖν* Nev.; verba auctoris Christiani, cf. Iob. I 21 ‖ Cf. Bgk proleg. p. LXXXVIII

**189** Φασὶν ὗν καυχωμένην ἀγέλην παίδων ἔχουσαν εἰπεῖν τῇ λεαίνῃ· „πόσους παῖδας σὺ γεννᾷς;“
ἡ δ' εἶπεν† „ἕνα μέν, ἀλλὰ γενναῖον.“

[Ὅτι κρείσσων εἷς ῥώμῃ σώματος καὶ ἀνδρείᾳ ἢ καὶ φρονήσει διαφέρων, ἢ πολλοὶ δειλοὶ καὶ ἄνανδροι ἢ καὶ ἄφρονες.]

**189ᵃ** Φάσις ⟨ποτ'⟩ ἦλθε πᾶσι τοῖς τετραπόδοις
καύχημα κατέχουσα εἰς παίδων πλήθη.
καὶ δὴ ἔφασκον τῇ λεαίνῃ βοῶντες·
„εἰπὲ καὶ σύ τοι, ὁπόσους παῖδας τίκτεις;“
ἡ δὲ γελῶσα πρὸς αὐτοὺς ταῦτα λέγει·
„σκύμνον μὲν ἕνα, ἀλλὰ γενναῖον πάνυ.“

[Ὁ μῦθος δηλοῖ, ὅτι κρείσσων εἷς ῥώμῃ σώματος καὶ ἀνδρείᾳ καὶ φρονήσει, ἢ πολλοὶ δειλοὶ καὶ ἄφρονες.]

**190** Χαλκεύς ⟨τις⟩ εἶχε κύνα·

καὶ ὅτε μὲν ἐχάλκευεν, ὁ κύων ἐκοιμᾶτο, ὅτε δὲ ἤρξατο τοῦ ἐσθίειν, εὐθέως ὁ κύων ἀφυπνιζόμενος παρίστατ' αὐτῷ, ὁ δὲ αὐτοῦ κύριος ὁ χαλκεὺς ὀστοῦν ῥίψας (e?) αὐτῷ εἶπεν· „ταλαίπωρε ὑπνῶδες,

---

**189** B 142; nobilior F 106 $A^{u}$ 108 fabulae forma a Babrio aliena ‖ 3 δὲ εἶπεν B | Epim. 1 κρεῖσσον B ‖

**189ᵃ** F Fur. 189; dodecasyllabi e paraphrasi Babriana profecti ‖ 1 Στάσις Hl | ἦλθεν ἅπασι Cor | σὺ τὸ πόσους F, corr. Cr; εἰπὲ δὴ Cor | Fabulam tristicham (qualis nulla legitur in Athoo) Babrio obtrudit Gb; Scribere poterat poeta: Φασίν ⟨λεαίνῃ⟩ σῦν ⟨ἄμετρα⟩ καυχᾶσθαι (129, 13. 11, 10) ⁝ ἀγέλην ἔχουσαν ⟨νεοτόκων μικρῶν⟩ παίδων. ⁝ „πόσους σὺ γεννᾷς“ φησίν „⟨ὦ φίλη⟩, σκύμνους;“ ⁝ ⟨γελῶσα⟩ δ' εἶπεν (vel δ' ἡ σῦς) „ἕνα μέν, ἀλλὰ γενναῖον.“

**190** B 143 $P^{1}$ 87; cf. Anth. Pal. XI 431 ‖ 1 εἶχε κύνα B*, κύν' εἶχε Eb, cf. prol. p. LII ‖ 2 sq. ὅτε δὲ — ἀφυπνιζόμενος $P^{1}$, ὅτε δὲ ἤσθιεν B | ὁ δὲ — χαλκεὺς $P^{1}$, ὁ δὲ B ‖ 5 ὑπνώδη $BP^{1}$ em. Kn.

*ὅταν μὲν – ◡ – τὸν ἄκμονα κρούω,*
*ὑπνοῖς, ὅταν δὲ τοὺς ὀδόντας† κινήσω*
*εὐθὺς ἐγείρῃ;“*

[*Ὅτι τοὺς ὑπνώδεις καὶ ἀργοὺς καὶ ἐξ ἀλλοτρίων πόνων τρεφομένους ὁ μῦθος ἐλέγχει.*]

**$190^a$** *Ἦν τις χαλκεὺς κυνάριον ἔχων· τούτου*
*χαλκεύοντος, τὸ κυνάριον ἐκοιμᾶτο·*
*καὶ αὖ πάλιν ἐσθίοντος, ⟨οὐχ⟩ ὁμοίως*
*ἐκοιμᾶτο. οὗτος ἐπέρριψεν ὀστοῦν ⟨τι⟩*
*[ταῦτα] λαλῶν· „[ὦ] ταλαίπωρον κυνάριον ὑπνῶδες,*
*τί σοι ποιήσω ὄκνῳ κατεχομένῳ;*
*ὅτε μὲν γὰρ τὸ ἀκμόνιόν προσκρούσω,*
*ἐπανακλίνεις σαυτὸν ἐπὶ κραββάτου·*
*ὅτε δὲ πάλιν τοὺς ὀδόντας κινήσω,*
*εὐθὺς ἐγείρῃ καὶ τὴν κέρκον μοι σείεις.“*

[*Ὁ μῦθος οὗτος τοὺς ὑπνώδεις καὶ ἀργώδεις καὶ εἰς ἀλλοτρίων πόνους ἀποβλέποντας ἐλέγχει.*]

**191** *Χερσαῖος† μῦς βατράχῳ κακῇ μοίρῃ*

---

**190** 7 e cf. 36, 12

---

**190,** 6 *μὲν* om. $P^1$ || 7 *ὅτε* $P^1$ || 7 *μόνον ὀδόντα*? cf. Herond. III 49 || 8 *ἐγείρῃ* cum puncto plerique || Prom. B = $P^1$ epim.

**$190^a$** F Fur. 82, cui cognati sed magis corrupti dodecasyllabi $V^1$ 58, Cor. 184 e Ms. Huds. Hptm. p. 225, Cor. p. 185 (*ἄλλως*); Bodleianae propius Pal. Nev. Cor. 284 || 2. 5. 7 per synizesin (Ml) || 3 *οὐχ* ex Nev. Hd add. Cor. || 8 *ἑαυτὸν* F, *σαυτὸν* ceteri | *ἐπὶ τῆς κλίνης* Hd || 10 *εὐ. ἐγ.* om. F, servavit $V^1$ || Babrius, qui epigrammate usus esse videtur, scribere poterat: *Χαλκεύς τις εἶχε κυνίδιον ⟨δόμοις θρέψας⟩.* (cf. 88, 3. 141, 2) ⋮ *ὅτ' ἐκρότησε* (119, 4), *τόθ' ὁ κύων ἐκοιμήθη,* ⋮ *ὅτε δ' ἤρξατ' ἔσθειν, εὐθέως ⟨ἐφορμήσας⟩* (cf. 95, 39) ⋮ *αὐτῷ παρίστατ' ⟨ἰχανῶν τε καὶ σαίνων⟩* (cf. 190, 3)· ⋮ *ἕως ποτ' αὐτῷ ⟨χναυθὲν⟩ ὀστέον ῥίψας* ⋮ „*τί σ', ὦ τάλαν καὶ νωθρέ*“ *φησί* „*ποιήσω;* ⋮ *ὅταν μὲν ⟨ἀθλῶ καὶ⟩ τὸν ἄκμονα κρούω* ⋮ *ὑπνοῖς, ὅταν δὲ μόνον ὀδόντα κινήσω* ⋮ *εὐθύς τ' ἐγείρῃ καὶ τὸ κέρκιον σείεις;*“

**191** (Eb 175 Gb 182) B 144 M 29 $P^1$ 88 = Nev. 249 Cor. 245 Fur. 307; nimis libera Dosithei paraphrasis fab. 12 p. 33 B. Fabula antiqua etiam Phaedri paraphr. Rom. I 4, Aesopi vita 33 p. 300, Batrachomachia 9—100 (ubi deest extrema pars) recepta || 1 *ὁ μῦς* M, num *χ. ἦν μ.*? | *μοίρᾳ* codd.

ἐφιλιώθη. ὁ δὲ βάτραχος κακῶς βουλευσάμενος τὸν πόδα τοῦ μυὸς τῷ ἑαυτοῦ ποδὶ συνέδησε. καὶ πρῶτον μὲν ἐπὶ τὰς χώρας ἦλθον σῖτον δειπνήσοντες· ἔπειτα δὲ τῷ χείλει τῆς λίμνης πλησιάσαντες ὁ μὲν βάτραχος τὸν μῦν

εἰς τὸν βυθὸν κατῆγεν * * *,
αὐτὸς βρυάζων [τῷ] ὕδατι καὶ ⟨αὖθις ἐκκύψας⟩
τὸ βρεκεκεκὲξ κοὰξ ⟨κοὰξ⟩ ἀνακράζων.
ὁ δ' ἄθλιος μῦς ὕδατι

φυσηθεὶς ἐτεθνήκει (e)· ἐπέπλει δὲ τῷ ποδὶ τοῦ βατράχου συνδεδεμένος. ἴκτινος δὲ τοῦτον ἰδὼν τοῖς ὄνυξιν ἥρπασεν·

βάτραχος δὲ δεσμώτης
ἐπηκολούθει δεῖπνον αὐτὸς ἰκτίνῳ
γενόμενος.

[κἂν νεκρὸς ᾖ τις, ἰσχύει πρὸς ἄμυναν·
ἡ γὰρ θεία δίκη ἐφορᾷ πάντα καὶ τὸ ἴσον ἀποδιδοῦσα ζυγοστατεῖ.]

---

**191**, 1 e = 12, 25 | 6 cf. 2, 5. 4, 3 ‖ 12 e = 129, 8

---

**191**, 3 *τῆς μυὸς* $P^1$ ‖ 4 *τὰς* BM atque ipse $P^1$, *τῆς* Nev. Kn ‖ 4 *ἦλθε* B* | *δειπνήσαντες* M$P^1$ | *δὲ* om. $P^1$ | *τὸ χεῖλος* M$P^1$ ‖ 6 *εἰς τὸ βάθος* solus B (Kn) ‖ *κατῆγεν* B, *κατήνεγκε(ν)* $P^1$M ‖ 7 *βρυκάζων* M atque ipse $P^1$, *βρυχάζων* Nev.; suppl. ex 96, 1. 112, 5 ‖ 8 *βρὲκ ἒξκεκ ἐξανακράζων* B, *βρεκὲξ καὶ κεξὰν ἀνακρ.* $P^1$, *βρέκ εκεξ κονὰξ ἀ.* M, unde Aristophaneum illud (Ran. 258) iure restitutum esse a Cor apparet; Gb qui *αὐτὸς βρυάζων βρεκεκεκέξ τ' ἀνακράζων* recepit Knoellii apparatu uti noluit ‖ 9 *ὁ δὲ* codd. ‖ 10 *φυσιθεὶς* B | *ἐπίπλει* M ‖ 11 *δεσμώτας* ut videtur M ‖ 13 *δεῖπνος* (*δεῖπνον* $P^1$) *καὶ αὐτὸς τῷ ἰκτίνῳ ἰκτίνῳ* B* | Fabula magis decurtata, quam ut restituendae periculum facias; v. 9 sq. plenius Dositheus: *ἀσκὸς ὁ μῦς φυσηθεὶς ἐκολύμβα, ὃν κολυμβῶντα νεκρὸν ἰκτῖνος πετόμενος ἥρπασεν καὶ τῷ αὐτῷ λίνῳ ὁ βάτραχος ἠκολούθησεν* ‖ Prom. B = Epim. $P^1$ ‖ *Ὅτι κἂν* B* | *τις ἤει* M | trimeter barbarus ‖ *εὐφορᾷ* B$P^1$, *ἀφορῶν* M ‖ *τοῖς ἴ.* codd., corr. Cor | *ἀποδιδοῦσι* BM, *ἀποδιδῶσι* $P^1$ | *ζυγοστατοῦσαν* B

**192** *Χειμὼν ⟨ποτ'⟩ ἄνθρωπόν τινα*
*ἐν ὄρει κατέλαβεν. ὃ δὲ καπνὸν ἐν τῇ ἄκρᾳ τοῦ ὄρους ἐκ πέτρας τινὸς ἀνιόντα ἰδών, ἔνθα Σάτυρος οὓς λέγουσι παίκτας* (e?) *κατῴκει, ἀπῆλθεν. αὐτὸς δὲ τὸν ξένον οἰκτείρας* (e?) *ἐπεισῆγεν*
*ὃ δὲ πολλὰ ῥιγῶν† τῇ πνοῇ τοῦ στόματος*
*τὰς χεῖρας ἐπεθέρμανεν· * * **
*κἀκεῖνος αὐτῷ θερμὰ μὲν φαγεῖν*
*δέδωκε καὶ θερμὰ πιεῖν καὶ πυρὶ κατέθαλπεν· ὡς δὲ ἴδρωσε, τῇ πνοῇ πάλιν τὰς χεῖρας κατέψυχεν. ὁ δὲ Σάτυρος τοῦτον ἐξῆγε*
*„κακοῦ“ λέγων „ξένου ⟨γὰρ⟩ οὐκ ἔχω χρείην,*
*ὃς ποτὲ μὲν θερμόν, ποτὲ δὲ ψυχρὸν ἐκ τοῦ στόματος ἀσθμαίνει“* (e).

[*Ὅτι διγνώμους* (e?) *ἄνδρας τοὺς ποτὲ μὲν ἐπαινοῦντας, ποτὲ δὲ ψέγοντας ὁ μῦθος διαβάλλει.*]

---

**192** B 145 M 30 P[1] 89, Avianus 29; apud Sext. Empir. VIII 103 ('Aesop.') Silenus est pro Satyro. Ultima fabulae origo Prometheus Aeschyli satyrica videtur esse, cf. fr. 207 p. 69 Nck[2], *Festschr. für J. Overbeck* p. 106 (ubi delenda quae de Babrii satyro scripsi adn. 2) ‖ 3 sqq. *σάτυρος* Kn ‖ 4 *πέκτας* MP[1] | *οὓς — παίκτας* diasceuastae tribuit Kn progr. p. 14, vereor ut recte; transcripsit ni fallor poeta Hesiodi illud *καὶ γένος οὐτιδανῶν Σατύρων καὶ ἀμηχανοεργῶν | Κουρῆτές τε θεοὶ φιλοπαίγμονες ὀρχηστῆρες* (fr. 44 Rz.); fuerit: *Σατύρων ὅπου τις, οὓς λέγουσι ⟨καὶ⟩ παίκτας ...*: *nemorum custos .. satyrus* Av. 5 sq. De Satyrorum cum hominibus commercio cf. Philostr. vit. Apoll. VI 27 | *κατῴκουν* M | post *κατῴκει* (BP[1]) *ἐκεῖ* add. Eb ‖ 5 *ἐπεισῆγεν* B, *ἔσω εἰσήγαγεν* MP[1] ‖ 7 *ἐπεθέρμανε* MP[1], *ἐθέρμανεν* B ‖ 10 *ὁ* BP[1], *ἡ* M | *δὲ* om. B ‖ 12 *χρ. οὐκ ἔ.* B* ‖ 14 *ἀσθαίνει* M ‖ Initium fuerit: *Χειμὼν ποτ' ἄνθρωπόν τιν' ἐγκατειλήφει ⁞ ⟨ὁδοιποροῦντ'⟩ ἐν ὄρεσι ⟨δυσβάτοις⟩*, cf. Avian. *Horrida congestis cum staret bruma pruinis ...... ⁞ haesit in adversa nimborum mole viator; ⁞ perdita nam prohibet semita ferre gradum.* ‖ Prom. B = epim. MP[1]; differunt A°F ‖ *ὁ μῦθος διαβάλει* B, *ὁ λόγος ἐλέγχει* M, *ὁ λόγος ἐλέγχει καὶ δ.* P[1]

192a Ἄνθρωπόν ποτε λέγεται πρὸς Σάτυρον φιλίαν σπείσασθαι· καὶ δὴ χειμῶνος καταλαβόντος καὶ ψύχους γενομένου ὁ ἄνθρωπος τὰς χεῖρας τῷ στόματι ἐπέπνει· τοῦ δὲ Σατύρου τὴν αἰτίαν ἐρομένου δι' ἣν τοῦτο πράττει, ἔλεγεν, ὅτι θερμαίνει τὰς χεῖρας διὰ τὸ κρύος. ὕστερον δὲ παρατεθείσης αὐτοῖς τραπέζης καὶ προσφαγήματος (cf. 133, 4) θερμοῦ σφόδρα ὄντος, ὁ ἄνθρωπος ἀναιρούμενος κατὰ μικρὸν

